This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

A 860,533


THE UNIVERSITY OF MICHIGAN
THE UNIVERSITY OF MICHIGAN
ARTES·SCIENTIA·VERITAS
1817
LIBRARIES

# ARISTOPHANIS

# RANAE

EX RECENSIONE

GUILIELMI DINDORFII.

LIPSIAE
LIBRARIA WEIDMANNIA
G. REIMER.

MDCCCXXIV.

888
A7r
D58

10 - 8. 45

# PRAEFATIO.

Librorum indicem hunc habeto.

Ravennas.

Vaticanus Kusteri.

Baroccianus 127. antiquus membranaceus. Contulit Ricardus Bentleius, post Bentleium Porsonus. Desinit v. 1355. *ξυναρπάσασα.*

A Parisinus 2712.

B —— 2717.

C —— post impressum Catalogum in bibliothecam regiam illatus.

D ipsius liber Brunckii, cuius post obitum ad Ricardum Heberum, Anglum, pervenisse narratur. Desinit v. 1389..

E Parisinus 2820.

F Cantabrigiensis 1 Dobraei.

G —— —— 2 ——

H Harleianus 6 ——

L Lectiones libri MS. adscriptae margini exemplaris Caniniani in bibliotheca Leidensi asservati. Inspexit Dobraeus.

M Harleianus 5664.. Fluxit ex Barocciano 127.. Quo factum ut in extrema tantum fabulae parte, qua caret Baroccianus, inspiceretur ab Dobraeo.

Libri Florentini octo, quorum aliquoties mentionem feci. De his propediem alio loco agetur.

Victorianus apud Thierschium in Actis Monacensibus vol. I. fasc. III. .

Monacensis.

Elbingensis.

Borgianus.

Liber Poggianus, Thierschii mei nuper ex Italia reducis donum. Complectitur quattuor primarum fabularum editionem Aldinam. Fuit olim Francisci Poggii, postea Petri Victorii, qui marginibus Pluti, Nubium atque Ranarum lectiones tum ex libris tum ex coniectura ductas et scholia ab novitio profecta magistro adscripsit. Ita quum Victorianus potius dicendus esset, Poggianum nuncupare malui, ut ab altero Victorii libro qui in regiam Bavarorum bibliothecam delatus est discernerem.

His ego libris criticorumque coniecturis ita sum usus ut tantum ab unoquoque sumerem quantum conduceret, praetermitterem quarum inutilis cognitio rerum esset. Scribebam Lipsiae.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ

# ΒΑΤΡΑΧΟΙ.

## ΤΠΟΘΕΣΙΣ.

Μαθὼν παρ' Ἡρακλέους Διόνυσος τὴν ὁδὸν
πρὸς τοὺς κατοιχομένους πορεύεται, λαβὼν
τὸ δέρμα καὶ τὸ σκύταλον ἀνάγειν θέλων
Εὐριπίδην. λίμνην τε διέβαινεν κάτω.
καὶ τῶν βατράχων ἀνέκραγεν εὔφημος χορός.
ἔπειτα μυστῶν ἐκδοχή. Πλούτων δ' ἰδὼν
ὡς Ἡρακλεῖ προσέκρουσε διὰ τὸν Κέρβερον.
ὡς δ' ἀνεφάνη, τίθεται τραγῳδίας ἀγὼν,
καὶ δὴ στεφανοῦται γ' Αἰσχύλος. τοῦτον δ' ἄγει
Διόνυσος ἐς φῶς, οὐ μὰ Δία γ' Εὐριπίδην.

## ΑΛΛΗ ΥΠΟΘΕΣΙΣ.

Διόνυσός ἐστι μετὰ θεράποντος Ξανθίου κατὰ Εὐριπίδου πόθον εἰς Ἅιδου κατιών· ἔχει δὲ λεοντῆν καὶ ῥόπαλον, πρὸς τὸ τοῖς ἐντυγχάνουσιν ἔκπληξιν παρασχεῖν. ἐλθὼν δὲ ὡς τὸν Ἡρακλέα πρότερον, ἵνα ἐξετάσῃ τὰ κατὰ τὰς ὁδούς, δι' ὧν καὶ αὐτὸς ἐπὶ τὸν Κέρβερον ᾤχετο, καὶ ὀλίγα ἄλλα περὶ τῶν τραγικῶν τούτῳ διαλεχθεὶς ὁρμᾶται πρὸς τὸ προκείμενον. ἐπεὶ δὲ πρὸς τῇ Ἀχερουσίᾳ λίμνῃ γίνεται, ὁ μὲν Ξανθίας, διὰ τὸ μὴ συννεναυμαχηκέναι τὴν περὶ Ἀργινούσας ναυμαχίαν, ὑπὸ τοῦ Χάρωνος οὐκ ἀναληφθεὶς περᾷ τὴν λίμνην κύκλῳ πορεύεται. ὁ δὲ Διόνυσος δύο ὀβολῶν περαιοῦται, προσπαίζων ἅμα τοῖς κατὰ τὸν πόρον ᾄδουσι βατράχοις καὶ γελωτοποιῶν. μετὰ ταῦτα ἐν Ἅιδου τῶν πραγμάτων ἤδη χειριζομένων οἵ τε μύσται χορεύοντες ἐν τῷ προφανεῖ καὶ τὸν Ἴακχον ᾄδοντες ἐν χορυῷ σχήματι καθορῶνται, ὅ τε Διόνυσος μετὰ τοῦ θεράποντος εἰς ταὐτὸν ἔρχεται τούτοις. τῶν δὲ προηδικημένων ὑπὸ Ἡρακλέους προσκλεκομένων τῷ Διονύσῳ, διὰ τῆς ἐκ τῆς ὑπευθύνης ἀγνοίας, μέχρι μέν τινος ῥᾳθύμως χειμάζονται, εἶτα μέντοι γε πρὸς τὸν Πλούτωνα καὶ τὴν Περσέφατταν παραχθέντες ἀλεωρῆς τυγχάνουσιν. ἐν δὲ τούτῳ ὁ μὲν τῶν μυστῶν χορὸς περὶ τοῦ τὴν πολιτείαν ἐξισῶσαι καὶ τοὺς ἀτίμους ἐντίμους ποιῆσαι χάτέρων τινῶν πρὸς τὴν Ἀθηναίων πόλιν διαλέγεται. τὰ δὲ λοιπὰ τοῦ δράματος μονόκωλον, ἄλλως δὲ τερπνὴν καὶ φιλολόγον λαμβάνει σύστασιν. παρεισάγεται γὰρ Εὐριπίδης Αἰσχύλῳ περὶ τῆς τραγικῆς διαφερόμενος, τὸ μὲν ἔμπροσθεν Αἰσχύλου παρὰ τῷ Ἅιδῃ βραβεῖον ἔχοντος καὶ τοῦ τραγῳδικοῦ θρόνου, τότε δὲ Εὐριπίδου τῆς τιμῆς ἀντιποιησαμένου. συστήσαντος δὲ τοῦ Πλούτωνος αὐτοῖς τὸν Διόνυσον διακούειν ἑκάτερος αὐτῶν λόγους πολλοὺς καὶ ποικίλους ποιεῖται, καὶ τέλος πάντα ἔλεγχον καὶ πᾶσαν

βάσανον οὐκ ἀπιθάνως ἑκατέρου κατὰ τῆς θατέρου ποιήσεως προσαγαγόντος, κρίνας παρὰ προσδοκίαν ὁ Διόνυσος Αἰσχύλον νικᾶν, ἔχων αὐτὸν ὡς τοὺς ζῶντας ἀνέρχεται. οὐ δεδήλωται μὲν, ὅπου ἐστὶν ἡ σκηνή· εὐλογώτατον δ' ἐν Θήβαις· καὶ γὰρ ὁ Διόνυσος ἐκεῖθεν καὶ πρὸς τὸν Ἡρακλέα ἀφικνεῖται Θηβαῖον ὄντα.

Τὸ δὲ δρᾶμα τῶν εὖ πάνυ καὶ φιλοπόνως πεποιημένων. ἐδιδάχθη ἐπὶ Καλλίου τοῦ μετὰ Ἀντιγένη *) διὰ Φιλωνίδου εἰς Λήναια. πρῶτος ἦν· δεύτερος Φρύνιχος Μούσαις·**) Πλάτων τρίτος Κλεοφῶντι. οὕτω δὲ ἐθαυμάσθη τὸ δρᾶμα διὰ τὴν ἐν αὐτῷ παράβασιν, ὥστε καὶ ἀνεδιδάχθη, ὡς φησι Δικαίαρχος.

---

*) Olymp. XCIII. 3. .

**) Legebatur, ἐδιδάχθη ἐπὶ Καλλίου ἄρχοντος τοῦ μετὰ Ἀντιγένη, ἐπὶ Ληναίῳ. Φιλωνίδης ἐπεγράφη καὶ ἐνίκα. Φρύνιχος δεύτερος Μούσαις. Correxi ex Ravennate. De Phrynichi Musis vide argumentum Sophoclis Oedipi Colonei quod ab Elmsleio tertio loco positum est.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΞΑΝΘΙΑΣ.
ΔΙΟΝΥΣΟΣ.
ΗΡΑΚΛΗΣ.
ΝΕΚΡΟΣ.
ΧΑΡΩΝ.
ΠΑΡΑΧΟΡΗΓΗΜΑ ΒΑΤΡΑΧΩΝ *).
ΧΟΡΟΣ ΜΥΣΤΩΝ.
ΑΙΑΚΟΣ.
ΘΕΡΑΠΑΙΝΑ ΠΕΡΣΕΦΟΝΗΣ.
ΠΑΝΔΟΚΕΥΤΡΙΑΙ ΔΥΟ.
ΕΥΡΙΠΙΔΗΣ.
ΑΙΣΧΥΛΟΣ.
ΠΛΟΥΤΩΝ.

*) Legebatur *ΧΟΡΟΣ ΒΑΤΡΑΧΩΝ.* Liber Ravennas *παραχορήματα βατράχων.* Schol. ad v. 211. *ταῦτα δὲ καλεῖται παρηγορήματα* (recte Bisetus *παραχορηγήματα* ex Polluce IV, 110.), *ἐπειδὴ οὐχ ὁρῶνται ἐν τῷ θεάτρῳ οἱ βάτραχοι, οὐδὲ ὁ χορὸς, ἀλλ' ἔσωθεν μιμοῦνται τοὺς βατράχους.* Alio modo in scholiis ad Pacem 113. peccatum, ubi *παραχωρήματα* scriptum.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΒΑΤΡΑΧΟΙ.

## ΞΑΝΘΙΑΣ. ΔΙΟΝΤΣΟΣ. ΗΡΑΚΛΗΣ. ΝΕΚΡΟΣ. ΧΑΡΩΝ. ΒΑΤΡΑΧΟΙ.

ΞΑΝΘΙΑΣ.

Εἴπω τι τῶν εἰωθότων, ὦ δέσποτα,
ἐφ' οἷς ἀεὶ γελῶσιν οἱ θεώμενοι;

ΔΙΟΝΤΣΟΣ.

νὴ τὸν Δί', ὅ τι βούλει γε, πλὴν πιέζομαι·
τοῦτο δὲ φύλαξαι· πάνυ γάρ ἐστ' ἤδη χολή.

ΞΑΝΘΙΑΣ.

ὃ μηδ' ἕτερον ἀστεῖόν τι;

ΔΙΟΝΤΣΟΣ.

πλήν γ' ὡς θλίβομαι.

---

VARIETAS LECTIONIS.

V. 3. *νὴ Δί' ὅτι βούλει γε* scholiastes.

V. 4. *σχολή* A, a prima manu C, Suidas v. *πάνυ*. *χολή* ceteri libri cum Phrynicho in Bekkeri Anecdotis vol. I. p. 73, 1.

ΞΑΝΘΙΑΣ.

τί δαί; τὸ πάνυ γέλοιον εἶπω;

ΔΙΟΝΥΣΟΣ.

νὴ Δία,
θαῤῥῶν γ' · ἐκεῖνο μόνον ὅπως μὴ 'ρεῖς.

ΞΑΝΘΙΑΣ.

τὸ τί;

ΔΙΟΝΥΣΟΣ.

μεταβαλλόμενος τἀνάφορον ὅτι χεζητιᾷς.

ΞΑΝΘΙΑΣ.

μηδ' ὅτι τοσοῦτον ἄχθος ἐπ' ἐμαυτῷ φέρων,
εἰ μὴ καθαιρήσει τις, ἀποπαρδήσομαι;

ΔΙΟΝΥΣΟΣ.

μὴ δῆθ', ἱκετεύω, πλήν γ' ὅταν μέλλω 'ξεμεῖν.

ΞΑΝΘΙΑΣ.

τί δῆτ' ἔδει με ταῦτα τὰ σκεύη φέρειν,
εἴπερ ποιήσω μηδὲν ὧνπερ Φρύνιχος
εἴωθε ποιεῖν καὶ Λύκις κἀμειψίας;
[σκεύη φέρουσ' ἑκάστοτ' ἐν κωμῳδίᾳ.]

---

V. 7. θαῤῥῶν γε· μόνον ἐκεῖν' ὅπως A C, Brunckius. Ita etiam codex Florentinus b. θαῤῥῶν γε· μόνον δ' ἐκεῖν' ὅπως D, Baroccianus.

V. 8. Affert hunc versum Pollux X, 17. et ἀνάφορον VII, 175.

V. 9. μήθ' A B C, Baroccianus, Borgianus, Brunckius.

V. 10. εἰ μὴ καθαιρήσει τις τἀνάφορον grammaticus Etymologico Gudiano adiectus p. 639, 16.

V. 11. ὅτε μέλλω ἐξεμεῖν Suidas v. ἐξεμεῖν: ex quo Bentleius fecit ὅτε μέλλω 'γὼ 'ξεμεῖν. Idem grammaticus v. μέλλω, πλὴν ὅταν μέλλω γ' ἐξεμεῖν.

V. 13. Initium versus commemorat Hephaestio p. 8, ed. Gaisf.

Versum 15., quem non scriptum ab Aristophane puto, seclusi, servata ea scriptura quae est in libro Ravennate editio-

ΔΙΟΝΥΣΟΣ.

μὴ νυν ποιήσῃς· ὡς ἐγὼ θεώμενος,
ὅταν τι τούτων τῶν σοφισμάτων ἴδω,
πλεῖν ἢ 'νιαυτῷ πρεσβύτερος ἀπέρχομαι.

---

nibusque ante Brunckium omnibus, qui σκευηφοροῦσ', pro dativo acceptum, primus edidit. σκευοφοροῦσ' Suidas v. Λύκις, cuius verba operae pretium est integra apponi ex editione Mediolanensi: Λύκις. λέγεται καὶ λύκος. κωμωδεῖται ὡς ψυχρὸς ποιητής. ἀριστοφάνης. τί δῆτ' ἔδει με ταῦτα τὰ σκεύη φέρειν, εἴ περ ποιήσω μηδὲν ὧνπερ φρύνιχος εἴωθε ποιεῖν. καὶ λύκις κἀμειψίας. οὗτοι οὖν οἱ τρεῖς κωμικοὶ ὑπόψυχροι. ὁ δὲ φρύνιχος ἐν ταῖς κωμωδίαις παρ' ἕκαστα ἐφορτικεύετο. κωμωδεῖται δὲ καὶ ὡς ξένος ἐπὶ φαυλότητι ποιημάτων. καὶ ὡς ἀλλότρια λέγων. καὶ ὡς κακόμετρα. ἐγένοντο δὲ καὶ ἄλλοι τρεῖς φρύνιχοι. σκευοφοροῦσ' ἐκεῖνοτ' ἐν κωμωδία. Quae postrema, σκευοφοροῦσ' ἐκ. ἐν κωμ. in superiorem locum per fraudem transtulit Kusterus. Scholiastes in editione Aldina, Λύκις, κωμωδίας ποιητής. ὡς ψυχρὸς κωμωδεῖται. λέγει δὲ αὐτὸν καὶ λύκον. οὗ οὐδὲν φέρεται. ὁ δὲ νοῦς, εἴπερ ποιήσω μηδὲν ὧν οὗτοι εἰώθασι ποιεῖν τοῖς σκευοφοροῦσιν, ἵνα τὸ φέρουσι σημαίνῃ πτῶσιν δοτικήν. ἡ δὲ γραφὴ τριχῶς. ἢ γράφεται σκευηφοροῦσιν. ἢ σκεύη φέρουσιν, ἢ σκευοφοροῦσιν. ἀντὶ τοῦ σκευοφόρους ἄνδρας ποιοῦσιν. ἔστι δὲ βεβιασμένος ὁ λόγος. εἴπερ ποιήσω μηδέν. ὧν οὗτοι ποιοῦσι σκευηφοροῦντας, εἰσάγοντες, μετὰ πολλῶν. λείπει οὖν τὸ, ὧν εἰώθασιν οὗτοι ποιεῖν τοῖς σκευοφόροις. Superest ut codicum lectiones commemorem. σκευοφοροῦσ' A. Eadem librorum E et Barocciani scriptura est, superscripto gl. τοῖς. Margo editionis Ang. Caninii in bibliotheca Leidensi, γρ. καὶ, σκευοφοροῦσ'. τοῖς σκευοφοροῦσ' F. οἳ σκεύη φέρουσ' B. οἵ τινες σκευηφοροῦσ' D. οἵ τινες σκεύη φοροῦσ' Monacensis. οἱ σκευηφοροῦσ' codex Florentinus b, οἱ ab alia manu addito. οἳ σκευοφοροῦσ' G. Ita etiam liber Poggianus, praefixis duobus punctis (:), libri scripti, ut arbitramur, indicibus. De codice C quum nihil monuerit Brunckius, videtur in eo σκεύη φέρουσ' reperisse. Grammaticorum coniecturis duas addam liberaliter, ne quid intentatum relinquatur, σκευηφόρους et τοὺς σκευοφόρους, vel eadem dativo casu.

V. 16. Scribebatur μὴ νῦν,

V. 17. 18. Suidas v. πλεῖν.

V. 18. πλὴν ἢ 'νιαυτοῦ Ravennas. Phrynichus in Bekkeri

ΞΑΝΘΙΑΣ.

ὦ τριςκακοδαίμων ἄρ' ὁ τράχηλος οὑτοσί,
ὅτι θλίβεται μὲν, τὸ δὲ γέλοιον οὐκ ἐρεῖ.

ΔΙΟΝΥΣΟΣ.

εἶτ' οὐχ ὕβρις ταῦτ' ἐστὶ καὶ πολλὴ τρυφὴ,
ὅτ' ἐγὼ μὲν ὢν Διόνυσος, υἱὸς Σταμνίου,
αὐτὸς βαδίζω καὶ πονῶ, τοῦτον δ' ὀχῶ,
ἵνα μὴ ταλαιπωροῖτο μηδ' ἄχθος φέροι;

ΞΑΝΘΙΑΣ.

οὐ γὰρ φέρω 'γώ;

ΔΙΟΝΥΣΟΣ.

πῶς φέρεις γὰρ, ὅς γ' ὀχεῖ;

ΞΑΝΘΙΑΣ.

φέρων γε ταυτί.

ΔΙΟΝΥΣΟΣ.

τίνα τρόπον;

ΞΑΝΘΙΑΣ.

βαρέως πάνυ.

ΔΙΟΝΥΣΟΣ.

οὔκουν τὸ βάρος τοῦθ', ὃ σὺ φέρεις, οὔνος φέρει;

---

Anecdotis I. p. 58, 23. πλέον ἢ ἐνιαυτῷ πρεσβύτερος ὑπὸ τῆς ἀηδίας γίνομαι: ἀστεῖον. τὸ γὰρ ὑπὸ τῆς ἀηδίας οὕτω διατίθεσθαι, ὡς καὶ τῶν ἐτῶν ὑφαιρεῖσθαι, οὐδὲν ἀλλ' ἢ αὔξησίς ἐστιν.

V. 19. ὦ F. Scribebatur ὦ. — κακοδαίμον Flor. b.

V. 21—24. Suidas v. ὄχημα.

V. 24. Optativi vim, quem in subiunctivum mutari voluerat Brunckius, declaravit Reisigius ad Sophocl. Oedip. Col. p. 169.

V. 26. φέρω γε G.

V. 27. ὄνος Ravennas. ὄννος Eustathius ad Homerum p. 488, 10.

ΞΑΝΘΙΑΣ.

οὐ δῆθ' ὃ γ' ἔχω 'γὼ καὶ φέρω, μὰ τὸν Δί' οὔ.

ΔΙΟΝΥΣΟΣ.

πῶς γὰρ φέρεις, ὃς γ' αὐτὸς ὑφ' ἑτέρου φέρει;

ΞΑΝΘΙΑΣ.

οὐκ οἶδ'· ὁ δ' ὦμος οὑτοσὶ πιέζεται.

ΔΙΟΝΥΣΟΣ.

σὺ δ' οὖν ἐπειδὴ τὸν ὄνον οὐ φῂς σ' ὠφελεῖν,
ἐν τῷ μέρει σὺ τὸν ὄνον ἀράμενος φέρε.

ΞΑΝΘΙΑΣ.

οἴμοι κακοδαίμων· τί γὰρ ἐγὼ οὐκ ἐναυμάχουν;
ἢ τἂν σε κωκύειν ἂν ἐκέλευον μακρά.

ΔΙΟΝΥΣΟΣ.

κατάβα, πανοῦργε. καὶ γὰρ ἐγγὺς τῆς θύρας
ἤδη βαδίζων εἰμι τῆσδ', οἳ πρῶτά με
ἔδει τραπέσθαι. παιδίον, παῖ, ἠμί, παῖ.

ΗΡΑΚΛΗΣ.

τίς τὴν θύραν ἐπάταξεν; ὡς κενταυρικῶς
ἐνήλαθ' ὅστις· εἰπέ μοι, τουτὶ τί ἦν;

ΔΙΟΝΥΣΟΣ.

ὁ παῖς.

---

V. 29. ὅτ' αὐτὸς L. — φέρῃ codex Florentinus b.

V. 31. γ' οὖν pro δ' οὖν liber Poggianus. σὲ δ' οὖν codex Florentinus b. — φῂς ὠφελεῖν F et Florentinus b, et cum gl. σε Baroccianus.

V. 33. Suidas v. οἴμοι. — ἐγώ γ' οὐκ codex Florentinus b.

V. 35. κατάβα πανοῦργε grammaticus in Aldi Hortis Adon. fol. 185. b.

V. 36. εἰμὶ τῆσδ' οὔ liber Poggianus et codex Florentinus b.

V. 39. ἐλήλαθ' codex Florentinus b, ν ab alia manu.

ΞΑΝΘΙΑΣ.

τί ἔστιν;

ΔΙΟΝΤΣΟΣ.

οὐκ ἐνεθυμήθης;

ΞΑΝΘΙΑΣ.

τὸ τί;

ΔΙΟΝΤΣΟΣ.

ὡς σφόδρα μ' ἔδεισε.

ΞΑΝΘΙΑΣ.

νὴ Δία, μὴ μαίνοιό γε.

ΗΡΑΚΛΗΣ.

οὔ τοι μὰ τὴν Δήμητρα δύναμαι μὴ γελᾶν·
καί τοι δάκνω γ' ἐμαυτόν· ἀλλ' ὅμως γελῶ.

ΔΙΟΝΤΣΟΣ.

ὦ δαιμόνιε, πρόσελθε· δέομαι γάρ τί σου.

ΗΡΑΚΛΗΣ.

ἀλλ' οὐχ οἷός τ' εἰμ' ἀποσοβῆσαι τὸν γέλων,
ὁρῶν λεοντῆν ἐπὶ κροκωτῷ κειμένην.
τίς ὁ νοῦς; τί κόθορνος καὶ ῥόπαλον ξυνηλθέτην;
ποῖ γῆς ἀπεδήμεις;

ΔΙΟΝΤΣΟΣ.

ἐπεβάτευον Κλεισθένει.

---

V. 41. *μὰ δία* E, F cum gl. *οὐ*, H, Baroccianus.

V. 45. *ἀποσοβεῖν* Suidas v. *κροκωτόν*. *ἀποσοβῆσαι* v. *οὐχ οἷός τ'*.

V. 47. Vitiose scriptus exstat in vita Isocratis apud Orellium in Opusc. moral. vol. II. p. 4. — *τίς* ὁ codex Florentinus b, cum puncto sub ς, quo notatur ς delendum esse.

V. 48. *Κλεισθένη* Florentinus h.

ΗΡΑΚΛΗΣ.

κἀναυμάχησας;

ΔΙΟΝΥΣΟΣ.

καὶ κατεδύσαμέν γε ναῦς
τῶν πολεμίων ἢ δώδεκ' ἢ τρισκαίδεκα.

ΗΡΑΚΛΗΣ.

σφώ;

ΔΙΟΝΥΣΟΣ.

νὴ τὸν Ἀπόλλω.

ΗΡΑΚΛΗΣ.

κἄτ' ἔγωγ' ἐξηγρόμην.

ΔΙΟΝΥΣΟΣ.

καὶ δῆτ' ἐπὶ τῆς νεὼς ἀναγιγνώσκοντί μοι
τὴν Ἀνδρομέδαν πρὸς ἐμαυτὸν ἐξαίφνης πόθος
τὴν καρδίαν ἐπάταξε πῶς οἴει σφόδρα;

ΗΡΑΚΛΗΣ.

πόθος; πόσος τις;

ΔΙΟΝΥΣΟΣ.

μικρὸς, ἡλίκος Μόλων.

---

V. 50. Suidas v. ἐξηγρόμην et κἄτ' ἔγωγε.

V. 51. Verba κἄτ' ἔγωγ' ἐξηγρόμην Herculi tribuunt Suidas v. κἄτ' ἔγωγε, C D E F G, Baroccianus, Poggianus. Xanthiae A B, Ravennas, Vaticanus. Totus versus Herculis est in edd. ante Kusterum.

V. 53. ἐξαίφνης πρὸς ἐμαυτὸν πόθος Borgianus et Florentinus b.

V. 54. ἐπάταξεν Flor. b.

V. 55. σμικρὸς Brunckius et codex Monacensis. μακρὸς cum gl. μέγας liber Poggianus, Elbingensis et G (μηκρὸς Baroccianus.), commemoratque hanc scripturam scholiastes. — σμικρὸς Flor. b. puncta ab alia manu.

ΗΡΑΚΛΗΣ.

γυναικός;

ΔΙΟΝΥΣΟΣ.

οὐ δῆτ'.

ΗΡΑΚΛΗΣ.

ἀλλὰ παιδός;

ΔΙΟΝΥΣΟΣ.

οὐδαμῶς.

ΗΡΑΚΛΗΣ.

ἀλλ' ἀνδρός;

ΔΙΟΝΥΣΟΣ.

ἀτταταῖ.

ΗΡΑΚΛΗΣ.

ξυνεγένου Κλεισθένει;

ΔΙΟΝΥΣΟΣ.

μὴ σκῶπέ μ' ὦδέλφ'· οὐ γὰρ ἀλλ' ἔχω κακῶς·
τοιοῦτος ἵμερός με διαλυμαίνεται.

ΗΡΑΚΛΗΣ.

ποῖός τις ὦδελφίδιον;

---

V. 56. Scholiastes, γυναικὸς οὐ δῆτα. τινὲς ἀπὸ τοῦ γυναικὸς ἀμοιβαῖα ποιοῦσι· τινὲς δέ φασιν ὅλον τὸν Ἡρακλέα λέγειν, λογιζόμενον τίνος ἡράσθη Διόνυσος· τοῦ δὲ Διονύσου εἰπόντος τὸ ἀτταταὶ ὁ Ἡρακλῆς ὑποπτεύει ἀνδρὸς ἐρασθῆναι Κλεισθένους τὸν Διόνυσον. Prior ratio vera, altera ab grammaticis excogitata.

V. 57. ἀτταταί edd. ante Brunckium. Scribendum περισπωμένως, ἀττατεῖ: vid. Herodian. περὶ μονήρους λέξεως p. 27, 13. . ἀταταί Brunckius, ut ξυνεγένου τῷ Κλεισθένει scribere liceret, quod habent A B C D F G, Baroccianus, Victorianus, Flor. 2. Scholiastes: ἀτταταί. γράφεται ἀππαπαί. Ita Suidas v. ἀππαπαί. Non habuit articulum scholiastes.

ΔΙΟΝΤΣΟΣ.

οὐκ ἔχω φράσαι.
ὅμως γε μέντοι σοι δι' αἰνιγμῶν ἐρῶ.
ἤδη ποτ' ἐπεθύμησας ἐξαίφνης ἔτνους;

ΗΡΑΚΛΗΣ.

ἔτνους; βαβαιὰξ, μυριάκις ἐν τῷ βίῳ.

ΔΙΟΝΤΣΟΣ.

ἆρ' ἐκδιδάσκω τὸ σαφὲς, ἢ ἑτέρᾳ φράσω;

ΗΡΑΚΛΗΣ.

μὴ δῆτα περὶ ἔτνους γε· πάνυ γὰρ μανθάνω.

ΔΙΟΝΤΣΟΣ.

τοιουτοσὶ τοίνυν με δαρδάπτει πόθος
Εὐριπίδου.

ΗΡΑΚΛΗΣ.

καὶ ταῦτα τοῦ τεθνηκότος;

ΔΙΟΝΤΣΟΣ.

κοὐδείς γέ μ' ἂν πείσειεν ἀνθρώπων τὸ μὴ οὐ
ἰέναι ἐπ' ἐκεῖνον.

ΗΡΑΚΛΗΣ.

πότερον εἰς Ἅιδου κάτω;

---

V. 63. γ' ἐν F, Borgianus, Flor. b.

V. 64. ἢ 'τέρα edd. veteres cum codd. quibusdam. ἢ 'τέρα Bentleius, Seidlerus de vers. dochm. p. 388., Reisigius I. p. 108. et alii. ἢ ἑτέρᾳ Elmsleius ad Acharn. v. 828. . ἢ ἕτερα D, Brunckius, ex aliis ἢ ''τερα afferens. ἢ 'τέρως Poggianus et G. ἤ ''τερα Flor. b, in margine ἑτέρως ἄλλως. Euripidis hemistichium esse annotavit scholiastes.

V. 67. Verba καὶ ταῦτα τοῦ τεθνηκότος, vulgo Dionyso tributa, ab aliis Herculi tribui narrat scholiastes.

ΔΙΟΝΥΣΟΣ.

καὶ νὴ Δί' εἴ τί γ' ἔστιν ἔτι κατωτέρω.

ΗΡΑΚΛΗΣ.

τί βουλόμενος;

ΔΙΟΝΥΣΟΣ.

δέομαι ποιητοῦ δεξιοῦ.
οἱ μὲν γὰρ οὐκέτ' εἰσὶν, οἱ δ' ὄντες κακοί.

ΗΡΑΚΛΗΣ.

τί δ'; οὐκ Ἰοφῶν ζῇ;

ΔΙΟΝΥΣΟΣ.

τοῦτο γάρ τοι καὶ μόνον
ἔτ' ἐστὶ λοιπὸν ἀγαθὸν, εἰ καὶ τοῦτ' ἄρα·
οὐ γὰρ σάφ' οἶδ' οὐδ' αὐτὸ τοῦθ' ὅπως ἔχει.

ΗΡΑΚΛΗΣ.

εἶτ' οὐχὶ Σοφοκλέα, πρότερον ὄντ' Εὐριπίδου,
μέλλεις ἀνάγειν, εἴπερ γ' ἐκεῖθεν δεῖ σ' ἄγειν;

ΔΙΟΝΥΣΟΣ.

οὔ, πρὶν γ' ἂν Ἰοφῶντ', ἀπολαβὼν αὐτὸν μόνον,
ἄνευ Σοφοκλέους ὅ τι ποιεῖ κωδωνίσω.
κἄλλως ὁ μέν γ' Εὐριπίδης, πανοῦργος ὤν,

---

V. 73. 74. Phrynichus in Bekkeri Anecdotis I. p. 5, 31., ubi τὸ γάρ τοι scriptum.

V. 76. Indoctam quorundam correctionem, εἶτ' οὐ Σοφοκλέα, notavit Reisigius I. p. 62. . Alio modo fallitur Elmsleius ad Eurip. Medeam p. 206. .

V. 77. μέλλεις ἀνάγειν, εἴπερ γ' ἐκεῖθεν — B E F G, Baroccianus, Harleiani duo apud Elmsleium ad Acharn. p. 115. (p. 61. ed. Lips.). Legebatur μέλλεις ἀναγαγεῖν, εἴπερ ἐκεῖθεν —. εἴπερ γ' ἐκεῖθεν ex Borgiano et Flor. b enotatum.

V. 80. γ' abest a Barocciano.

κἂν ξυναποδρᾶναι δεῦρ' ἐπιχειρήσειέ μοι·
ὁ δ' εὔκολος μὲν ἐνθάδ', εὔκολος δ' ἐκεῖ.

ΗΡΑΚΛΗΣ.

Ἀγάθων δὲ ποῦ 'στιν;

ΔΙΟΝΥΣΟΣ.

ἀπολιπών μ' ἀποίχεται,
ἀγαθὸς ποιητὴς καὶ ποθεινὸς τοῖς φίλοις.

ΗΡΑΚΛΗΣ.

ποῖ γῆς ὁ τλήμων;

ΔΙΟΝΥΣΟΣ.

ἐς μακάρων εὐωχίαν.

ΗΡΑΚΛΗΣ.

ὁ δὲ Ξενοκλέης;

ΔΙΟΝΥΣΟΣ.

ἐξόλοιτο νὴ Δία.

ΗΡΑΚΛΗΣ.

Πυθάγγελος δέ;

ΞΑΝΘΙΑΣ.

περὶ ἐμοῦ δ' οὐδεὶς λόγος,
ἐπιτριβομένου τὸν ὦμὸν σύτωσὶ σφόδρα.

---

V. 81. Correxi librorum scripturam, καὶ ξυναποδρᾶναι. — ἐπιχειρήσειεν ἄν A, Brunckius. ἐπιχειρήσειέ με C.

V. 83. 85. Suidas v. Ἀγάθων.

V. 83. μ' οἴχεται Ravennas, Batoccianus, Florentinus b, Borgianus. Ex quo erunt qui ἔμ' οἴχεται faciant. μ' ἀποίχεται Suidas.

V. 86. Ξενοκλῆς edd. ante Brunckium. Correctum ex codicibus.

ΗΡΑΚΛΗΣ.

οὔκουν ἕτερ' ἔστ' ἐνταῦθα μειρακύλλια,
τραγῳδίας ποιοῦντα πλεῖν ἢ μύρια,
Εὐριπίδου πλεῖν ἢ σταδίῳ λαλίστερα;

ΔΙΟΝΥΣΟΣ.

ἐπιφυλλίδες ταῦτ' ἐστὶ καὶ στωμύλματα,
χελιδόνων μουσεῖα, λωβηταὶ τέχνης,
ἃ φροῦδα θᾶττον, ἢν μόνον χορὸν λάβῃ,
ἅπαξ προρουρήσαντα τῇ τραγῳδίᾳ.
γόνιμον δὲ ποιητὴν ἂν οὐχ εὕροις ἔτι
ζητῶν ἄν, ὅστις ῥῆμα γενναῖον λάκοι.

ΗΡΑΚΛΗΣ.

πῶς γόνιμον;

ΔΙΟΝΥΣΟΣ.

ὠδὶ γόνιμον, ὅστις φθέγξεται
τοιουτονί τι παρακεκινδυνευμένον·
αἰθέρα Διὸς δωμάτιον, ἢ χρόνου πόδα,
ἢ φρένα μὲν οὐκ ἐθέλουσαν ὀμόσαι καθ' ἱερῶν,
γλῶτταν δ' ἐπιορκήσασαν ἰδίᾳ τῆς φρενός.

---

V. 89. 90. Suidas v. πλεῖν et scholiastes ad Nubes 1378. p. 304, 7. .

V. 91. πλεῖν σταδίου Etymol. M. p. 262, 14. . πλεῖν ἢ σταδίου Florentinus b, Borgianus. Similiter in Ravennate peccatum v. 18. . πλεῖν ἢ σταδίῳ Aristides vol. II. p. 133. Iebb., Suidas v. πλεῖν, Eustathius p. 1226, 15. .

V. 92. et 93. seriores scriptores plures usi sunt, de quibus Dionys. Hal. vol. V. p. 393, 10. R., Tatianum adv. Graec. c. 2., Maximum Tyr. vol. II. p. 104. R. indicarunt Kusterus et Porsonus. Eustathium p. 1914, 34. addit Bruńckius.

V. 96 — 102. Suidas v. παρακεκινδυνευμένον.

V. 96. γόνιμον ποιητὴν οὐχ εὕροις ἔτι Florentinus b.

V. 102. Codices quidam, in hisque Ravennas, pro ἰδίᾳ praehent glossema ἄνευ, quod in aliis alteri superscriptum est.

ΗΡΑΚΛΗΣ.

σὲ δὲ ταῦτ' ἀρέσκει;

ΔΙΟΝΥΣΟΣ.

μὴ ἀλλὰ πλεῖν ἢ μαίνομαι.

ΗΡΑΚΛΗΣ.

ἦ μὴν κόβαλά γ' ἐστὶν, ὡς καὶ σοὶ δοκεῖ.

ΔΙΟΝΥΣΟΣ.

μὴ τὸν ἐμὸν οἶκει νοῦν· ἔχεις γὰρ οἰκίαν.

ΗΡΑΚΛΗΣ.

καὶ μὴν ἀτεχνῶς γε παμπόνηρα φαίνεται.

ΔΙΟΝΥΣΟΣ.

δειπνεῖν με δίδασκε.

ΞΑΝΘΙΑΣ.

περὶ ἐμοῦ δ' οὐδεὶς λόγος.

ΔΙΟΝΥΣΟΣ.

ἀλλ' ὥνπερ ἕνεκα τήνδε τὴν σκευὴν ἔχων

---

V. 103. Verba σὲ δὲ ταῦτ' ἀρέσκει afferunt schol. Romana ad Sophocl. Electr. v. 147. et Suidas v. ἀρέσκεια. — Legebatur καὶ μάλα. μάλα omisso καὶ Baroccianus et scholiastes. μ' ἀλλὰ Suidas v. σὲ δὲ ταῦτα in libris Parisino et Oxoniensi. Vide ad Avium v. 109.

V. 104. κόβαλλα edd. veteres.

V. 105. Suidas v. μὴ τὸν ἐμόν.

V. 106. γε omissum in BD.

V. 107. με delet Elmsleius ad Acharn. p. 118. (p. 61. ed. Lips.).

V. 108. ἕνεκα ACD, Ravennas, Vaticanus, Monacensis, Florentinus b. οὕνεκα edd. ante Brunckium. — ἔχων ACD, Ravennas, Vaticanus, Baroccianus, Borgianus, Monacensis, liber Poggianus. φέρων edd. ante Brunckium.

ἦλθον κατὰ σὴν μίμησιν, ἵνα μοι τοὺς ξένους
τοὺς σοὺς φράσειας, εἰ δεοίμην, οἵσι σὺ
ἔχρω τόθ', ἡνίκ' ἦλθες ἐπὶ τὸν Κέρβερον,
τούτους φράσον μοι, λιμένας, ἀρτοπώλια,
πορνεῖ', ἀναπαύλας, ἐκτροπὰς, κρήνας, ὁδοὺς,
πόλεις, διαίτας, πανδοκευτρίας, ὅπου
κόρεις ὀλίγιστοι.

ΞΑΝΘΙΑΣ.

περὶ ἐμοῦ δ' οὐδεὶς λόγος.

ΗΡΑΚΛΗΣ.

ὦ σχέτλιε, τολμήσεις γὰρ ἰέναι;

ΔΙΟΝΥΣΟΣ.

καὶ σύ γε
μηδὲν ἔτι πρὸς ταῦτ'· ἀλλὰ φράζε τῶν ὁδῶν
ὅπως τάχιστ' ἀφιξόμεθ' εἰς Ἅιδου κάτω·
καὶ μήτε θερμὴν μήτ' ἄγαν ψυχρὰν φράσῃς.

ΗΡΑΚΛΗΣ.

φέρε δή, τίν' αὐτῶν σοι φράσω πρώτην; τίνα;
μία μὲν γὰρ ἔστιν ἀπὸ κάλω καὶ θρανίου,
πρεμάσαντι σαυτόν.

ΔΙΟΝΥΣΟΣ.

παῦε, πνιγηρὰν λέγεις.

---

V. 109. κατὰ τὴν σὴν F, Baroccianus, Borgianus.

V. 113. Scholiastes, κρήνας. γράφεται κρημνούς.

V. 116. ὦ σχέτλιε τολμήσεις γὰρ ἰέναι καὶ σύ γε; totus Herculi tribuebatur. Correxit Seidlerus. Alloquitur autem Hercules Dionysum, non Xanthiam, περὶ οὗ οὐδεὶς λόγος.

V. 118. ἀφιξόμεθ' ADH, Ravennas, Baroccianus, Monacensis. ἀφίξομ' edd. ante Brunckium. ἀφίξομαι G.

V. 120. πρῶτον F.

V. 121. Pollux X, 48., Suidas v. Θρανίον, v. κάλως et v. πνιγηρά.

ΗΡΑΚΛΗΣ.

ἀλλ' ἔστιν ἀτραπὸς ξύντομος τετριμμένη,
ἡ διὰ θυείας.

ΔΙΟΝΥΣΟΣ.

ἆρα κώνειον λέγεις;

ΗΡΑΚΛΗΣ.

μάλιστά γε.

ΔΙΟΝΥΣΟΣ.

ψυχράν γε καὶ δυσχείμερον·
εὐθὺς γὰρ ἀποπήγνυσι ταντικνήμια.

ΗΡΑΚΛΗΣ.

βούλει ταχεῖαν καὶ κατάντη σοι φράσω;

ΔΙΟΝΥΣΟΣ.

νὴ τὸν Δί', ὡς ὄντος γε μὴ βαδιστικοῦ.

ΗΡΑΚΛΗΣ.

καθέρπυσόν νυν ἐς Κεραμεικόν.

ΔΙΟΝΥΣΟΣ.

εἶτα τί;

ΗΡΑΚΛΗΣ.

ἀναβὰς ἐπὶ τὸν πύργον τὸν ὑψηλὸν

ΔΙΟΝΥΣΟΣ.

τί δρῶ;

ΗΡΑΚΛΗΣ.

ἀφιεμένην τὴν λαμπάδ' ἐντεῦθεν θεῶ,

---

V. 128. Suidas v. βαδιστικοῦ, Triclinius ad Sophocl. Trach. 894.. βαδιστικὸς ex Aristophane memorat Pollux III, 92.. γε omittit Borgianus.

V. 129. εἶτα Ravennas, Baroccianus, Borgianus. Legebatur κἄτα.

V. 131. Thomas Mag. v. θεῶ. Respiat Etymol. M. p. 504, 24..

κἄπειτ' ἐπειδὰν φῶσιν οἱ θεώμενοι,
εἶνται, τόθ' εἶναι καὶ σὺ σαυτύν.

ΔΙΟΝΤΣΟΣ.

ποῖ;

ΗΡΑΚΛΗΣ.

κάτω.

ΔΙΟΝΤΣΟΣ.

ἀλλ' ἀπολέσαιμ' ἂν ἐγκεφάλου θρίῳ δύο.
135 οὐκ ἂν βαδίσαιμι τὴν ὁδὸν ταύτην.

ΗΡΑΚΛΗΣ.

τί δαί;

---

V. 132. excidit in Aldina et Iuntina prima.

V. 133. Legebatur ἐπειδὰν φῶσιν — εἶναι, quod vertunt interpretes, *quando iubebunt spectatores lampadem mitti.* Quasi vero id dici potuerit ἐπειδὰν φῶσιν εἶναι, aut spectatoribus conveniat initium certaminis inbere. Scholiastes, εἶναι τόθ' εἶναι. ἀντὶ τοῦ ἀφεῖναι τοὺς δρομεῖς. τινὲς γράφουσιν εἴητε ἀντὶ τοῦ ἀφείητε. οἱ δρομεῖς δηλονότι. τοῦτο δὲ γνωριμώτερον ἔχει τὸν νοῦν· ἐπειδὰν οἱ θεώμενοι εἴπωσιν, ἀφείητε, δηλονότι οἱ τρέχοντες, καὶ σὺ σαυτόν. γράφεται δὲ ἐν πολλοῖς εἶναι ἀντὶ τοῦ εἶητε, μή ποτε τὸ δεύτερον εἶναι, τὸ ἓς καὶ σὺ σαυτὸν, ἁμαρτανομένου τοῦ πρώτου. λέγοι δ' ἄν τις καὶ τοῦτο λόγον ἔχειν, ὡς τῶν θεωμένων ἐπικαλούντων τῷ σημεῖον ἀφιέντι κατὰ τὸ ἀρχαῖον σχῆμα οὕτως εἶναι. Quam in aliis libris reperiri scripturam testatur scholiastes εἶητε tam inepta est ut non possit non corrupta haberi. Recte ego Seidlerum corrigere puto εἶνται ἀντὶ τοῦ ἀφεῖνται, cui aptum est quod explicandi caussa additur οἱ δρομεῖς, eodemque fortasse spectat alius annotatio grammatici, πρὸς δὲ τόπῳ τούτῳ (τῷ Κεραμεικῷ) πύργον τινὰ ὑπάρχειν φασὶν, ἐφ' ὃν συμβουλεύει αὐτὸν ἀναβάντα θεωρεῖν τὴν λαμπάδα, καὶ ὅταν οἱ πρῶτοι λαμπαδίζοντες ἀφεθῶσι, καὶ αὐτὸν ἀπὸ τοῦ πύργου ἀφεῖναι ἑαυτὸν κάτω. — Verba τόθ' εἶναι καὶ σὺ σαυτὸν afferuntur in Hortis Adon. fol. 180. b. et 181. a. — πῇ F et Baroccianus.

V. 134. Athenaeus II. p. 66. B., scholiastes ad Equites 951. p. 608, 20. δύω edd. veteres.

ΔΙΟΝΥΣΟΣ.

ἤνπερ γὰ τότε κατῆλθες.

ΗΡΑΚΛΗΣ.

ἀλλ' ὁ πλοῦς πολύς.
εὐθὺς γὰρ ἐπὶ λίμνην μεγάλην ἥξεις πάνυ
ἄβυσσον.

ΔΙΟΝΥΣΟΣ.

εἶτα πῶς περαιωθήσομαι;

ΗΡΑΚΛΗΣ.

ἐν πλοιαρίῳ τυννουτωί σ' ἀνὴρ γέρων
ναύτης διάξει δύ' ὀβολὼ μισθὸν λαβών.

ΔΙΟΝΥΣΟΣ.

φεῦ. ὡς μέγα δύνασθον παντα χοῦ τὼ δύ' ὀβολώ.
πῶς ἠλθέτην κἀκεῖσε;

ΗΡΑΚΛΗΣ.

Θησεὺς ἦγαγεν·
μετὰ ταῦτ' ὄφεις καὶ θηρί' ὄψει μυρία
δεινότατα·

---

V. 136. ἀλλ' ἤνπερ Baroccianus.

V. 137. Suidas v. ἄβυσσος.

V. 138. πῶς γε edd. ante Brunckium, qui γε „*in uno codice Regio omissum*" expunxit. Addere potuerat Suidae auctoritatem v. φεῦ haec et sequentia afferentis de mercede Charontis. Habent particulam ceteri libri, etiam Ravennas, tuitusque est Reisigius ad Sophocl. Oed. Col. p. 323.: recte reiecit Elmsleius annotatione ad eandem fabulam p. 214. 215., etsi in eo falsus, quod γε ab interrogativis sententiis alienum iudicat.

V. 139. τυννουτωί Baroccianus.

V. 140. 141. Etymolog. M. p. 613, 8.

V. 142. Θησεύς σφ' ἦγαγε Brunckius de coniectura.

V. 143. μετὰ τοῦτ' Ravennas. Vide Reisig. I. p. 223.

ΔΙΟΝΤΣΟΣ.

μή μ' ἔκπληττε, μηδὲ δειμάτου·
οὐ γάρ μ' ἀποτρέψεις.

ΗΡΑΚΛΗΣ.

εἶτα βόρβορον πολὺν
καὶ σκῶρ ἀείνων· ἐν δὲ τούτῳ κειμένους
εἴ που ξένον τις ἠδίκησε πώποτε,
ἢ παῖδα κινῶν τἀργύριον ὤφείλετο,
ἢ μητέρ' ἠλόησεν, ἢ πατρὸς γνάθον
ἐπάταξεν, ἢ 'πίορκον ὤμοσεν,
ἢ Μορσίμου τις ῥῆσιν ἐξεγράψατο.

ΔΙΟΝΤΣΟΣ.

νὴ τοὺς θεοὺς ἐχρῆν γε πρὸς τοιτοισι κεῖ

---

V. 144. μή με δειμάτου grammaticus Etymologico Gudiano adiectus p. 646, 61.

V. 145. Suidas v. σκῶρ. βόρβορον πάχυν Brunckius ex D, cui consentit Monacensis.

V. 146. σκὼρ edd. vetustes. — Libri omnes ἀεὶ νῶν. Atticam formam ἀείνων ante Buttmannum uber. gramm. Gr. I. p. 250. restituerat Elmsleius in Edinburgh Review fasc. XXXVII. p. 73. Vide Bekkeri Anecd. I. p. 23, 16. et p. 347. Vulgatam scripturam habent Suidas v. ἀεὶ νῶν et v. σκῶρ et grammaticus in codice Coisliniano 178.

V. 148. ἀργύριον sine articulo Baroccianus.

V. 149. ἠλοίησεν edd. ante Brunckium, consentiente Ammonio v. ἀλοιᾶν et editis Suidae exemplaribus v. ἠλοίησεν. ἠλλοίησεν A. ἠλοίασεν F. ἠλλοίωσεν D. ἠλόησεν Baroccianus. ἠλόησεν Suidae codices Leidensis et Oxoniensis, Toupius, Valckenarius, Brunckius. Vide Porson. ad Toup. vol. IV. p. 456.

V. 151. Suidas v. ἢ Μορσίμου.

V. 152. τούτοις καὶ εἰ liber Ravennas. τούτοις, εἰ F. — Scholiastes, τινὲς οὐ γράφουσι τὸν, νὴ τοὺς θεούς, στίχον, ἀλλ' ἀφαιροῦσι, καὶ οὕτω τὸ ἑξῆς γράφουσιν, ἢ πυῤῥίχην τις ἔμαθε τὴν Κινησίου. διὸ καὶ Ἀριστοφάνης παρατίθησιν ἀντίσιγμα καὶ τὸ σῖγμα.

τὴν πυῤῥίχην τις ἔμαθε τὴν Κινησίου.

ΗΡΑΚΛΗΣ.

ἐντεῦθεν αὐλῶν τίς σε περίεισιν πνοή,
ὄψει τε φῶς κάλλιστον, ὥςπερ ἐνθάδε,
καὶ μυῤῥινῶνας, καὶ θιάσους εὐδαίμονας
ἀνδρῶν, γυναικῶν, καὶ κρότον χειρῶν πολύν.

ΔΙΟΝΤΣΟΣ.

οὗτοι δὲ δὴ τίνες εἰσίν;

ΗΡΑΚΛΗΣ.

οἱ μεμυημένοι,

ΞΑΝΘΙΑΣ.

νὴ τὸν Δί' ἔγωγ' οὖν ὄνος ἄγων μυστήρια.
ἀτὰρ οὐ καθέξω ταῦτα τὸν πλείω χρόνον.

ΗΡΑΚΛΗΣ.

οἵ σοι φράσουσ' ἅπαξάπανθ' ὧν ἂν δέῃ.
οὗτοι γὰρ ἐγγύτατα παρ' αὐτὴν τὴν ὁδὸν
ἐπὶ ταῖσι τοῦ Πλούτωνος οἰκοῦσιν θύραις.
καὶ χαῖρε. πόλλ' ὦδελφέ.

ΔΙΟΝΤΣΟΣ.

νὴ Δία καὶ σύ γε
ὑγίαινε. σὺ δὲ τὰ στρώματ' αὖθις λάμβανε.

ΞΑΝΘΙΑΣ.

πρὶν καὶ καταθέσθαι;

ΔΙΟΝΤΣΟΣ.

καὶ ταχέως μέντοι πάνυ.

---

V. 153. Diomedes p. 472. ed. Putsch., Suidas v. πυῤῥίχαις.
V. 154. σε et v. 158. δὴ abest a Barocciano.
V. 161. δέει edd. ante Brunckium. Correctum ex libris pluribus.

ΞΑΝΘΙΑΣ.

μὴ δῆθ', ἱκετεύω σ', ἀλλὰ μίσθωσαί τινα
τῶν ἐκφερομένων, ὅστις ἐπὶ τοῦτ' ἔρχεται.

ΔΙΟΝΥΣΟΣ.

ἐὰν δὲ μὴ 'χω;

ΞΑΝΘΙΑΣ.

τότε μ' ἄγειν.

ΔΙΟΝΥΣΟΣ.

καλῶς λέγεις.
καὶ γάρ τιν' ἐκφέρουσι τουτονὶ νεκρόν.
οὗτος, σὲ λέγω μέντοι, σὲ τὸν τεθνηκότα·
ἄνθρωπε, βούλει σκευάριʼ εἰς Ἅιδου φέρειν;

ΝΕΚΡΟΣ.

πόσ' ἄττα;

ΔΙΟΝΥΣΟΣ.

ταυτί.

ΝΕΚΡΟΣ.

δύο δραχμὰς μισθὸν τελεῖς;

ΔΙΟΝΥΣΟΣ.

μὰ Δί', ἀλλ' ἔλαττον.

---

V. 169. Legebatur, ἐὰν δὲ μὴ εὕρω, crasin aliis aliter exprimentibus. Scholiastes, ἐὰν δὲ μὴ ὑρῶ. ἀντὶ τοῦ ἐὰν δὲ μὴ εὕρω. γράφεται, ἂν δὲ μὴ ἔχω, ἤγουν, ἐὰν δὲ μὴ ἔχω ἀργύριον. ἵνα λείπῃ τὸ ἀργύριον. Hoc praetuli. Vide Erfurdtii annotationem ab Hermanno editam ad Sophocl. Antigon. v. 225.

V. 170. Legebatur τινες ἐκφέρουσι. τινες φέρουσι ABDEFG, Baroccianus, Harleiani duo apud Elmsleium ad Acharn. p. 118. (61. ed. Lips.), Monacensis, Elbingensis. Recte Elmsleius τιν' ἐκφέρουσι.

V. 173. ἄττα edd. ante Brunckium.

ΝΕΚΡΟΣ.

ὑπάγεθ' ὑμεῖς τῆς ὁδοῦ.

ΔΙΟΝΥΣΟΣ.

ἀνάμεινον ὦ δαιμόνι', ἵνα ξυμβῶ τί σοι.

ΝΕΚΡΟΣ.

εἰ μὴ καταθήσεις δύο δραχμὰς, μὴ διαλέγου.

ΔΙΟΝΥΣΟΣ.

λάβ' ἐννέ' ὀβολούς.

ΝΕΚΡΟΣ.

ἀναβιώην νυν πάλιν.

ΞΑΝΘΙΑΣ.

ὡς σεμνὸς ὁ κατάρατος· οὐκ οἰμώξεται;
ἐγὼ βαδιοῦμαι.

ΔΙΟΝΥΣΟΣ.

χρηστὸς εἶ καὶ γεννάδας.
χωρῶμεν ἐπὶ τὸ πλοῖον.

ΧΑΡΩΝ.

ὠὸπ, παραβαλοῦ.

ΞΑΝΘΙΑΣ.

τουτὶ τί ἔστι;

---

V. 175. Legebatur ἐὰν. ἵνα, ab scholiaste ex aliis libris memoratum, habent Vaticanus atque Ravennas. ἵν' ἂν Baroccianus. γρ. ἵν' ἂν F.

V. 177. ἀναβιώην commemorat Etymolog. M. p. 198, 37., grammaticus in Hortis Adon. fol. 188. a. et alii.

V. 181. Verba τουτὶ τί ἔστι; Dionyso, cetera cum versibus sequentibus duobus Xanthiae tribuunt edd. ante Brunckium. Ξα. τουτὶ τι ἔφτι; ABCQ. Δι. τοῦτο — οὑτοσί BD. Ξα. αὕτη — ὁρῶ AC. Δι. αὕτη — Ξα. καὶ — Δι. νὴ τὸν — cum versu 184. F. 183. 184. Dionyso tribuit Baroccianus. Scholiastes, τοῦτο λίμνη

ΔΙΟΝΥΣΟΣ.

τοῦτο λίμνη νὴ Δία
αὕτη 'στὶν ἣν ἔφραζε, καὶ πλοῖόν γ' ὁρῶ.

ΞΑΝΘΙΑΣ.

νὴ τὸν Ποσειδῶ, κἄστι γ' ὁ Χάρων οὑτοσί.

ΔΙΟΝΥΣΟΣ.

χαῖρ' ὦ Χάρων, χαῖρ' ὦ Χάρων, χαῖρ' ὦ Χάρων.

ΧΑΡΩΝ.

τίς εἰς ἀναπαύλας ἐκ κακῶν καὶ πραγμάτων;
τίς εἰς τὸ Λήθης πεδίον, ἢ εἰς ὄνου πόκας,
ἢ εἰς Κερβερίους, ἢ εἰς κόρακας, ἢ 'πὶ Ταίναρον;

ΔΙΟΝΥΣΟΣ.

ἐγώ.

ΧΑΡΩΝ.

ταχέως ἔμβαινε.

ΔΙΟΝΥΣΟΣ.

ποῖ σχήσειν δοκεῖς;
ἐς κόρακας ὄντως;

---

νὴ Δία. τοῦτο οἱ μὲν τὸν Διόνυσόν φασι λέγειν, οἱ δὲ τὸν Ξανθίαν.

V. 183. κἄστιν ὁ E, Baroccianus.

V. 184. Scholiastes, πιθανὸν ὑπονοεῖν τρεῖς τοῦτο λέγοντας, ἀσπαζομένους τὸν Χάρωνα, Διόνυσον, Ξανθίαν καὶ τὸν νεκρόν.

V. 185. 186. Suidas v. ἀνάπαυλαν et v. τίς εἰς ἀναπαύλας et v. Χάρων.

V. 186. 187. Scribebatur ter ἢ 'ς. ἢ εἰς primo loco ex BaroccIano enotatum.

V. 187. ἢ Κερβερίους λέγω ex Ranis affert Etymol. M. p. 513, 45.

V. 188. ποῖ FH, Baroccianus, Vaticanus. Legebatur ποῦ cum Suida v. ποῦ σχήσειν. Vid. Schaefer. ad Bosii Ellips. p. 317.

ΧΑΡΩΝ.

ναὶ μὰ Δία, σοῦ γ' οὕνεκα.
ἔμβαινε δή.

ΔΙΟΝΥΣΟΣ.

παῖ, δεῦρο.

ΧΑΡΩΝ.

δοῦλον οὐκ ἄγω,
εἰ μὴ νεναυμάχηκε τὴν περὶ τῶν κρεῶν.

ΞΑΝΘΙΑΣ.

μὰ τὸν Δί', οὐ γὰρ ἀλλ' ἔτυχον ὀφθαλμιῶν.

ΧΑΡΩΝ.

οὔκουν περιθρέξει δῆτα τὴν λίμνην κύκλῳ;

ΞΑΝΘΙΑΣ.

ποῦ δῆτ' ἀναμενῶ;

ΧΑΡΩΝ.

παρὰ τὸν Αὐαίνου λίθον,
ἐπὶ ταῖς ἀναπαύλαις.

---

V. 189. *οὕνεκα* ABDFG, Elbingensis. *εἵνεκα* edd. ante Brunckium et Suidas v. *σοῦ γ' εἵνεκα*. *ἕνεκα* Baroccianus.

V. 191. In aliis libris *νεκρῶν* repertum esse testatur scholiastes, sed Aristarchum *κρεῶν* defendisse Sophoclis exemplo usum. *κρεῶν* libri editi omnes, Suidas v. *κρέας* et paroemiographi. *νεκρῶν* CFG, Baroccianus, Borgianus. *νεκρῶν* superscripto *κρεῶν* Vaticanus.

V. 192. *τὸν* omissum in Barocciano.

V. 193. Scribebatur *οὐκοῦν* affirmativa sententia. Correxit Beckius. — *κύκλῳ* FH, Ravennas, Vaticanus, Baroccianus, Borgianus, editio Iuntina prima. Scholiastes, *ἀντὶ δὲ τοῦ τρέχων γράφεται καὶ, κύκλῳ. κύκλῳ* legisse videtur argumenti scriptor supra p. 4. l. 9.

V. 194. *περὶ* Baroccianus.

ΔΙΟΝΤΣΟΣ.

μανθάνεις;

ΞΑΝΘΙΑΣ.

πάνυ μανθάνω.
οἶμοι κακοδαίμων, τῷ ξυνέτυχον ἐξιών;

ΧΑΡΩΝ.

κάθιζ' ἐπὶ κώπην. εἴ τις ἔτι πλεῖ, σπευδέτω.
οὗτος, τί ποιεῖς;

ΔΙΟΝΤΣΟΣ.

ὅ τι ποιῶ; τί δ' ἄλλο γ' ἢ
ἵζω 'πὶ κώπην, οἵπερ ἐκέλευσάς με σύ;

ΧΑΡΩΝ.

οὔκουν καθεδεῖ δῆτ' ἐνθαδὶ, γάστρων;

ΔΙΟΝΤΣΟΣ.

ἰδού.

ΧΑΡΩΝ.

οὔκουν προβαλεῖ τῶ χεῖρε κἀκτενεῖς;

ΔΙΟΝΤΣΟΣ.

ἰδού.

---

V. 195. *μανθάνεις;* Charonti tribuunt edd. ante Brunckium: Dionyso BCDEFG, Elbingensis. In A personae nota non adscripta, sed nonnihil spatii relictum. — *μανθάνω* excidit in libro Barocciano.

V. 197. Legebatur *ἐπιπλεῖ*. *ἔτι πλεῖ* Kusterus, Dukerus, Reiskius. *ἐπιπλεῖν* F et Baroccianus.

V. 199. *οὔπερ* Ravennas, Borgianus. Verum est *οἵπερ*. Ioannes Alexandrinus MS. ex Herodiano: *τὰ ἔχοντα τὴν οι δίφθογγον ἢ τὴν ει περισπῶνται. ἀριστοφάνης ἐν βατράχοις, ἵζω 'πὶ κώπην, οἵπερ ἐκέλευσάς με σύ.* — *με σύ γε* Baroccianus.

V. 200. omissus in G.

V. 201. omissus in Ravennate, ab alia manu in margine adscriptus in Borgiano.

ΧΑΡΩΝ.

οὐ μὴ φλυαρήσεις ἔχων, ἀλλ' ἀντιβὰς
ἐλᾷς προθύμως;

ΔΙΟΝΥΣΟΣ.

κᾆτα πῶς δυνήσομαι,
ἄπειρος, ἀθαλάττωτος, ἀσαλαμίνιος
ὤν, εἶτ' ἐλαύνειν;

ΧΑΡΩΝ.

ῥᾳστ'· ἀκούσει γὰρ μέλη
κάλλιστ', ἐπειδὰν ἐμβάλῃς ἅπαξ.

ΔΙΟΝΥΣΟΣ.

τίνων;

ΧΑΡΩΝ.

βατράχων, κύκνων, θαυμαστά.

ΔΙΟΝΥΣΟΣ.

κατακέλευε δή.

ΧΑΡΩΝ.

ὠὸπ ὄπ ὠὸπ ὄπ.

ΒΑΤΡΑΧΟΙ.

βρεκεκεκὲξ κοὰξ κοὰξ,

---

V. 202. φλυαρήσῃς edd. ante Brunckium, qui correxit ex B. — Post προθύμως addidi interrogandi signum.

V. 203. Apollonius Dyscolus in Bekkeri Anecdotis p. 496, 11. ΚΑΤΑ. οὗτος πολλάκις ἐν ἴσῳ τῷ καί παραλαμβάνεται. οὐ γὰρ . . . ον παρ' Ἀριστοφάνει ἐν Βατράχοις τὸ

κᾆτα πῶς . . ἥσομαι

ἀντὶ τοῦ καί παραλαμβάνεσθαι.

V. 204. Suidas v. ἄπειρος.

V. 208. abest ab libro Ravennate. — ὄπ utrumque omissum in F. Vid. v. 180. .

V. 209. ceteri<sup></sup>sque in locis libri nonnulli βρεκεκὲξ trisyllabum consentiente Suida v. βρεκεκὲξ et v. αἰόλαν. Ioannes Alexandri-

βρεκεκεκὲξ κοὰξ κοάξ.
λιμναῖα κρηνῶν τέκνα,
ξύναυλον ὕμνων βοὰν
φθεγξώμεθ', εὔγηρυν ἐμὰν ἀοιδάν,
κοὰξ κοὰξ,
ἣν ἀμφὶ Νυσήϊον
Διὸς Διόνυσον ἐν Λί-
μναισιν ἰαχήσαμεν,
ἡνίχ' ὁ κραιπαλόκωμος
ταῖς ἱεροῖσι χύτροισι
χωρεῖ κατ' ἐμὸν τέμενος λαῶν ἄγλαος.
βρεκεκεκὲξ κοὰξ κοάξ.

ΔΙΟΝΥΣΟΣ.

ἐγὼ δέ γ' ἀλγεῖν ἄρχομαι
τὸν ὄρρον, ὦ κοὰξ κοάξ·
ὑμῖν δ' ἴσως οὐδὲν μέλει.

---

nus MS. ex Herodiano: τὰ εἰς ξ λήγοντα ἐπιῤῥήματα ὀξύνεσθαι θέλει, πλὴν τῶν παρὰ προθέσεως· ταῦτα γὰρ βαρύνεται· ἀπρὶξ, κουρὶξ, κοὰξ, ὑποδρὰξ, βρεκεκὲξ, ἰαττεάξ (scr. ἰαττακαιάξ). Ceterum quod in hoc carmine praefixum versibus erat ΧΟΡΟΣ mutavi in ΒΑΤΡΑΧΟΙ. Vide supra p. 6.

V. 211. κρηναῖα λιμνῶν τέκνα Triclinius ad Sophocl. Oed. R. v. 1463. in edd. vett.

V. 212. Suidas v. ξύναυλον.

V. 213. φθεγξόμεθ' F.

V. 215. Ita versus distincti in libro Ravennate. Vulgo, ἣν ἀμφὶ Νυσήϊον Διὸς | Διόνυσον ἐν Λίμναισιν ἰαχήσαμεν. Hermannus in Elem. doctr. metr. p. 742. ἣν ἀμφὶ Νυσήϊον | Διὸς Διόνυσον ἐν | Λίμναισιν ἰαχήσαμεν.

V. 217. Λίμναις scholiastes.

V. 219. ταῖς ἱεραῖσι χύτρῃσι A, Brunckius. τῇς ἱερῇς χύτρῃσι E et Barocciauus. τῆς ἱερῆσι χύτραις F.

V. 222. ἐγὼ δὲ τἀλγεῖν edd. ante Brunckium.

Post v. 228. vulgo lecta, ΧΟΡ. βρεκεκεκὲξ κοὰξ κοάξ, absunt ab libris F, Barocciano, Veneto apud Hermannum. Quae si quis tueri volet, aut post v. 221. transponere debebit, aut versibus 236. et 237. interponere eadem.

ΒΑΤΡΑΧΟΙ.

βρεκεκεκὲξ κοὰξ κοάξ.

ΔΙΟΝΥΣΟΣ.

ἀλλ' ἐξόλοισθ' αὐτῷ κοὰξ κοάξ·
οὐδὲν γάρ ἐστ' ἄλλ' ἢ κοὰξ κοάξ.

ΒΑΤΡΑΧΟΙ.

εἰκότως γ', ὦ πολλὰ πράτ-
των· ἐμὲ γὰρ ἔστερξαν εὔλυροί τε Μοῦσαι,
καὶ κεροβάτας Πὰν, ὁ καλαμόφθογγα παίζων·
προσεπιτέρπεται δ' ὁ φορμικτὰς Ἀπόλλων,
ἕνεκα δόνακος, ὃν ὑπολύριον
ἔνυδρον ἐν λίμναις τρέφω.
βρεκεκεκὲξ κοὰξ κοάξ.

ΔΙΟΝΥΣΟΣ.

ἐγὼ δὲ φλυκταίνας γ' ἔχω,
χὠ πρωκτὸς ἰδίει πάλαι,
κἄτ' αὐτίκ' ἐγκύψας ἐρεῖ
βρεκεκεκὲξ κοὰξ κοάξ.

---

V. 226. 227. κοὰξ geminatum F, Baroccianus, Ravennas. Ceteri libri semel.

V. 227. ἄλλο γ' ἢ Borgianus.

V. 228. εἰκότως γ', ὦ — Ravennas. Legebatur εἰκότως ἔγωγ', ὦ — . εἰκότως σύ γ' ὦ — FH, Vaticanus; Borgianus, liber Poggianus. Praeterea correxi pravam versuum descriptionem. Quorum eam esse rationem animadvertit Seidlerus, ut versui 228. respondeat 241., tum oppositа sibi sint disparia systemata 229. - 231. et 242. - 247., rursus congruant extrema, v. 232. - 234. et 248. - 250.

V. 230. Respicit Suidas v. κεροβάτης.

V. 231. φορμικτὴς FH, Baroccianus.

V. 232. δόνακα ὑπολύριον commemorant Pollux IV, 62. et Hesychius v. δόνακα.

V. 235. γ' omissum in Brunckii editione habet Suidas v. φλύκταινα in libris editis; abest a cod. Oxon.

ἀλλ' ὦ φιλῳδὸν γένος
παύσασθε.

ΒΑΤΡΑΧΟΙ.

μᾶλλον μὲν οὖν
φθεγξόμεσθ', εἰ δή ποτ' εὐ-
ηλίοις ἐν ἀμέραισιν
ἠλάμεσθα διὰ κυπείρου
καὶ φλέω, χαίροντες φδῆς
ἐν πολυκαλύμβοισι μέλεσιν,
ἢ Διὸς φεύγοντες ὄμβρον
ἔνυδρον ἐν βυθῷ χορείαν
αἰόλιον ἐφθεγξάμεσθα
κομφολυγοπαφλάσμασιν.
βρεκεκεκὲξ κοὰξ κοάξ.

ΔΙΟΝΥΣΟΣ.

τουτὶ παρ' ὑμῶν λαμβάνω.

ΒΑΤΡΑΧΟΙ.

δεινά τἄρα πεισόμεσθα.

---

V. 241. Scribebatur φθεγξόμεθ'. φθεγξώμεθ' G.

V. 243. — 245. Suidas v. φλέω.

V. 244. φλέως A. Vid. Lobeck. ad Phrynich. p. 294.

V. 245. Libri omnes πολυκολέμβοις, omissa ἐν. Suidas πολυκολύμβοισι. Recte Hermannus ἐν πολυκολύμβοισι.

V. 249. In productiore vocabulo exarando duobus maxime modis aberrarunt librarii, aliis κομφολυγγόπαφλάσμασι, aliis κομφολυγγοπαμφλάσμασι scribentibus. Sive vitio scriptum in codice Barocciano, Suidae editione Mediolanensi, scholiaste et libro Poggiano.

V. 251. Tria systemata paria 251.–255., 256.–260., 261.–265.

V. 252. Scribebatur δεινά γ' ἄρα (Brunckius ἆρα). δεινά τἄρα Elmsleius ad Acharn. v. 323. Ravennas δεινὰ γὰρ. — Post hunc versum Brunckius ex codice A intulit non comici, sed grammatici verba, εἰ σιγήσομεν, non cogitans ille Aristophani σιγησόμεθα dicendum fuisse.

ΔΙΟΝΤΣΟΣ.

δεινότερα δ' ἔγωγ', ἐλαύνων
εἰ διαῤῥαγήσομαι.

ΒΑΤΡΑΧΟΙ.

βρεκεκεκὲξ κοὰξ κοάξ.

ΔΙΟΝΤΣΟΣ.

οἰμώζετ'· οὐ γάρ μοι μέλει.

ΒΑΤΡΑΧΟΙ.

ἀλλὰ μὴν κεκραξόμεσθά γ'
ὁπόσον ἡ φάρυγξ ἔν ἡμῶν
χανδάνῃ δι' ἡμέρας
βρεκεκεκὲξ κοὰξ κοάξ.

ΔΙΟΝΤΣΟΣ.

τούτῳ γὰρ οὐ νικήσετε.

ΒΑΤΡΑΧΟΙ.

οὐδὲ μὴν ἡμᾶς γε πάντως.

ΔΙΟΝΤΣΟΣ.

οὐδέποτε· κεκράξομαι γὰρ.

---

V. 258. ὁ φάρυγξ C et Vaticanus. Vide Thom.Mag. p. 570.

V. 261. νικήσετέ με Baroccianus.

V. 262. Legebatur, ἡμᾶς σὺ. ἡμᾶς γε σὺ Baroccianus. ἡμᾶς σὺ
γε Ravennas.

V. 263. Edd. ante Brunckium,

οὐδὲ μὴν ὑμεῖς γε δή με
οὐδέποτε· κεκράξομαι γὰρ — .

Brunckius,

οὐδὲ μὴν ὑμεῖς γε δή μ' οὐδέποτε·
κεκράξομαι γὰρ — .

κἄν με δῇ δι' ἡμέρας,
βρεκεκεκὲξ κοὰξ κοὰξ,
ἕως ἂν ὑμῶν ἐπικρατήσω τοῦ κοάξ. —
ἔμελλον ἄρα παύσειν ποθ' ὑμᾶς τοῦ κοάξ.

ΧΑΡΩΝ.

ὦ παῦε, παῦε, παραβαλοῦ τῷ κωπίῳ.
ἔκβαιν', ἀπόδος τὸν ναῦλον.

ΔΙΟΝΤΣΟΣ.

ἔχε δὴ τωβολώ.

---

δῇ omissum in F, Barocciano, Ravennate et Borgiano. οὐδὲ μὴν ὑμεῖς γ' ἔμ' οὐδεπώποτε A. Abieci grammaticorum supplementa.

V. 264. Edd. ante Brunckium κἄν με δεῖ. Brunckius ex codice A κἄν με δέῃ. Restitui ego ex libris Ravennate atque Veneto, quorum alter δῇι, alter δῇ habet, monosyllabam subiunctivi formam δῇ, eamque aliis etiam in locis poetarum oblitteratam esse existimo, quibus synizesin adhibuit Meinekius in Curis criticis p. 14.

V. 265. Choro assignatus legebatur post v. 266. Transposuit Reisigius I. p. 196. Abest una cum personae nota ΔΙΟΝ., versui 267. praefixa, ab libro Barocciano.

V. 266. κρατήσω Baroccianus. — τῷ edd. ante Brunckium. τὸ F H, Ravennas, Barocc. τοῦ B D G, Elbingensis, Brunckius.

V. 269. τὸ ναῦλον F H, Baroccianus. τὸν ναῦλον Suidas v. ναῦλος et grammaticus Hermanni p. 366.

ΔΙΟΝΤΣΟΣ. ΞΑΝΘΙΑΣ. ΧΟΡΟΣ ΜΥΣΤΩΝ.

ΔΙΟΝΥΣΟΣ.

Ὁ Ξανθίας. ποῦ Ξανθίας; ἢ Ξανθίας;

ΞΑΝΘΙΑΣ.

ἰαῦ.

ΔΙΟΝΥΣΟΣ.

βάδιζε δεῦρο.

ΞΑΝΘΙΑΣ.

χαῖρ' ὦ δέσποτα.

ΔΙΟΝΥΣΟΣ.

τί ἐστι τἀγταυθοῖ;

ΞΑΝΘΙΑΣ.

σκότος καὶ βόρβορος.

ΔΙΟΝΥΣΟΣ.

κατεῖδες οὖν που τοὺς πατραλοίας αὐτόθι
καὶ τοὺς ἐπιόρκους, οὓς ἔλεγεν ἡμῖν;

ΞΑΝΘΙΑΣ.

σὺ δ' οὔ;

ΔΙΟΝΥΣΟΣ.

νὴ τὸν Ποσειδῶ 'γωγε, καὶ νυνί γ' ὁρῶ.
ἄγε δή, τί δρῶμεν;

V. 275. γε pro ἔγωγε FH, Baroccianus. — καὶ δή ν. FH.

ΞΑΝΘΙΑΣ.

προϊέναι βέλτιστα νῷν,
ὡς οὗτος ὁ τόπος ἐστὶν οὗ τὰ θηρία
τὰ δεινὰ ἔφασκ' ἐκεῖνος.

ΔΙΟΝΥΣΟΣ.

ὡς οἰμώξεται.
ἠλαζονεύεθ', ἵνα φοβηθείην ἐγώ,
εἰδὼς με μάχιμον ὄντα, φιλοτιμούμενος.
οὐδὲν γὰρ οὕτω γαῦρον ἔσθ' ὡς Ἡρακλῆς.
ἐγὼ δέ γ' εὐξαίμην ἂν ἐντυχεῖν τινι,
λαβεῖν τ' ἀγώνισμ' ἄξιόν τι τῆς ὁδοῦ.

ΞΑΝΘΙΑΣ.

νὴ τὸν Δία καὶ μὴν αἰσθάνομαι ψόφου τινός.

ΔΙΟΝΥΣΟΣ.

ποῦ, ποῦ 'στιν;

ΞΑΝΘΙΑΣ.

ὄπισθεν.

ΔΙΟΝΥΣΟΣ.

ἐξόπισθέ νυν ἴθι.

ΞΑΝΘΙΑΣ.

ἀλλ' ἐστὶν ἐν τῷ πρόσθε.

ΔΙΟΝΥΣΟΣ.

πρόσθε νυν ἴθι.

---

V. 280. Suidas v. μάχιμος.

V. 281. Suidas v. γαῦρος.

V. 282. 283. Suidas v. ἀγώνισμα.

V. 285. ποῦ 'στ'; ὄπισθεν edd. ante Brunckium. ποῦ 'στιν; ὄπισθεν BD, Borgianus, Brunckius. Recte: vid. Reisig. in Commentar. ad Vespas p. 484. — ποῦ 'στιν. ἐξόπισθεν Baroccianus et Ravennas. ποῦ; ὄπισθεν A. ποῦ; ἐξόπισθεν C, Vaticanus. Ceterum et hoc et proximo versu scribebatur νῦν.

ΞΑΝΘΙΑΣ.

καὶ μὴν ὁρῶ νὴ τὸν Δία θηρίον μέγα.

ΔΙΟΝΥΣΟΣ.

ποῖόν τι;

ΞΑΝΘΙΑΣ.

δεινόν· παντοδαπὸν γοῦν γίγνεται·
ποτὲ μέν γε βοῦς, νυνὶ δ' ὄρευς, ποτὲ δὲ γυνὴ
ὡραιοτάτη τις.

ΔΙΟΝΥΣΟΣ.

ποῦ 'στι; φέρ' ἐπ' αὐτὴν ἴω.

ΞΑΝΘΙΑΣ.

ἀλλ' οὐκέτ' αὖ γυνή 'στιν, ἀλλ' ἤδη κύων.

ΔΙΟΝΥΣΟΣ.

Ἔμπουσα τοίνυν ἔστι.

ΞΑΝΘΙΑΣ.

πυρὶ γοῦν λάμπετται
ἅπαν τὸ πρόσωπον.

---

V. 287.–293. Suidas v. ἔμπουσα.

V. 288. οὖν Brunckius tacite, et ita Suidae codex Oxoniensis.

V. 289. ποτὲ — ποτὲ δ' αὖ edd. ante Brunckium. Mutatum ex A, Ravennate atque Elbingensi. ποτὲ μὲν — ποτὲ δ' αὖ C. ποτὲ — ποτὲ δ' αὖ E, Baroccianus, Poggianus. — μὲν βοῦς edd. ante Kusterum. γε enotatum ex FG, Vaticano, Suida.

V. 292. Legebatur τοίνυν γ'. Abest γε a CE, Barocciano, Suida, reprobavitque Brunckius annotatione ad v. 321.

V. 292. Edd. ante Brunckium, Ξα. πυρὶ —. Δι. νὴ τὸν —. Ξα. σάφ' —. Δι. ποῖ —; . A ita: Ξα. πυρὶ —. Δι. καὶ σκέλος —. Ξα. νὴ τὸν —. Δι. σάφ' —. E, Baroccianus, Brunckius: Ξα. πυρὶ —. Δι. καὶ σκέλος —. Ξα. νὴ τὸν —. Δι. ποῖ —; . FH et liber Poggianus: Ξα. πυρὶ —. Δι. καὶ σκ. —. Ξα. νὴ τὸν —. Δι. καὶ β. —. Ξα. σάφ' ἴσθι. Δι. ποῖ —; . G: Ξα. πυρὶ — τραποίμην; Δι. ποῖ δ' — ξυμπότης. Recte

ΔΙΟΝΥΣΟΣ.

καὶ σκέλος χαλκοῦν ἔχει.

ΞΑΝΘΙΑΣ.

νὴ τὸν Ποσειδῶ, καὶ βολίτινον θάτερον·
σάφ' ἴσθι.

ΔΙΟΝΥΣΟΣ.

ποῖ δῆτ' ἂν τραποίμην;

ΞΑΝΘΙΑΣ.

ποῖ δ' ἐγώ;

ΔΙΟΝΥΣΟΣ.

ἱερεῦ, διαφύλαξόν μ', ἵν' ὦ σοι ξυμπότης.

ΞΑΝΘΙΑΣ.

ἀπολούμεθ', ὦναξ Ἡράκλεις.

ΔΙΟΝΥΣΟΣ.

οὐ μὴ καλεῖς μ',
ὦνθρωφ', ἱκετεύω, μηδὲ κατερεῖς τοὔνομα.

ΞΑΝΘΙΑΣ.

Διόνυσε τοίνυν.

---

omnia Bruncknus, nisi quod interrogandi signum post ἔχει male posuit, quod etiam in libro Poggiano factum.

V. 294. βότινον vitiose scriptum ap. Antiatt. in Bekkeri Anecd. I. p. 86, 8.: βολίτινον apud Athenaeum XIII. p. 566. E. et Etymol. M. p. 204, 29.

V. 297. Verba ἀπολούμεθ', ὦναξ Ἡράκλεις, et paullo post Διόνυσε τοίνυν Sacerdoti tribuunt edd. ante Bruncknium praeter Venetam a. 1538. Correctum ex libris pluribus.

V. 297. μ' nihil paussae erat cur Porsonus eliceret. Vid. Commentar. vol. VII. part. I. p. 353. In initio proximi versus μ' habent edd. ante Bruncknium. Scholiastes, μ' ὦνθρωπε. πρὸς τὸ σύνηθες τῆς ἀρχῆς τοῦ δευτέρου στίχου, ὅτι ἀπὸ ὑπαλοιφῆς ἄρχεται.

ΔΙΟΝΥΣΟΣ.

τοῦτ' ἔθ' ἧττον θατέρου.

ΞΑΝΘΙΑΣ.

ἴθ' ἧπερ ἔρχει. δεῦρο, δεῦρ' ὦ δέσποτα.

ΔΙΟΝΥΣΟΣ.

τί δ' ἔστι;

ΞΑΝΘΙΑΣ.

θάρρει· πάντ' ἀγαθὰ πεπράγαμεν,
ἔξεστί θ' ὥςπερ Ἡγέλοχος ἡμῖν λέγειν·
ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν' ὁρῶ.
ἡ μπουσα φρούδη.

ΔΙΟΝΥΣΟΣ.

Δία κατόμοσον.

ΞΑΝΘΙΑΣ.

νὴ Δία.

ΔΙΟΝΥΣΟΣ.

καὖθις κατόμοσον.

---

V. 299. Edd. ante Brunckium, τοῦτο δέ γ' ἧττον, τοῦτό γ' ἔθ' ἧττον A C G, Borgianus, Brunckius. τοῦτό γ' ἔσθ' ἧττον F L, scholiastes. τοῦτο δ' ἔσθ' ἧττον Baroccianus. Ravennas τοῦτό γ' ἧττον.

V. 300. οἷπερ C F H, Baroccianus. εἶπερ liber Poggianus. Apte Brunckius comparavit Lysistr. v. 834. ἴθ' ὀρθὴν ἥνπερ ἔρχει τὴν ὁδόν.

V. 301. πάντα τἀγαθὰ edd. ante Brunckium. πάντ' ἀγαθὰ C, Vaticanus, Baroccianus.

V. 303. Euripidis ex Oreste versus 281. . Vanissima est Brunckii opinio γαλῆν ὁρῶ scribentis, *ne iocus pereat*. Nimirum recte scripta male pronunciaverat Hegelochus.

V. 304. Edd. ante Kusterum: ἡ μπουσα φρούδη. κατόμοσον. νὴ Δία. Quae Kusterus ita correxit ut νὴ τὸν Δία scriberet, in F G et Barocciano inventum. Recte Reisigius ad Sophocl. Oedip. Col. p. 404. Δία κατόμοσον.

ΞΑΝΘΙΑΣ.

νὴ Δί'.

ΔΙΟΝΥΣΟΣ.

ὄμοσον.

ΞΑΝΘΙΑΣ.

νὴ Δία.

ΔΙΟΝΥΣΟΣ.

οἴμοι τάλας, ὡς ὠχρίασ' αὐτὴν ἰδών·
ὁδὶ δὲ δείσας ὑπερεπυρρίασέ μου.
οἴμοι πόθεν μοι τὰ κακὰ ταυτὶ προσέπεσεν;
τίν' αἰτιάσωμαι θεῶν μ' ἀπολλύναι;
αἰθέρα Διὸς δωμάτιον, ἢ χρόνου πόδα;

ΞΑΝΘΙΑΣ.

οὗτος.

ΔΙΟΝΥΣΟΣ.

τί ἔστιν;

ΞΑΝΘΙΑΣ.

οὐ κατήκουσας;

ΔΙΟΝΥΣΟΣ.

τίνος;

---

V. 306. Edd. ante Kusterum ὠχριῶ'. ὠχρίας' E F, Ravennas, Vaticanus, Baroccianus, Elbingensis. Correxerat etiam H. Stephanus in Thesauro.

V. 307. Suidas v. ὑπερεπυρρίασεν. — ὁ δὲ δείσας Ravennas. — μοι F G, Baroccianus, Elbingensis, Monacensis.

V. 308. ταυτὶ τὰ κακὰ edd. ante Brunckium. Correctum ex libris plurimis.

V. 310. Xanthiae tribuunt edd. ante Brunckium. Correctum ex C, Borgiano, aliis.

V. 310. Post hunc versum in codd. parepigraphe, αὐλεῖ τις ἔνδον, vel ut scholiastes librique Ravennas et Baroccianus, αὐλεῖ τις ἔνδοθεν.

V. 311. - 314. Personarum vices edd. veteres aliae aliter distribuunt. Recte Brunckius ex A B D.

ΞΑΝΘΙΑΣ.

αὐλῶν πνοῆς.

ΔΙΟΝΥΣΟΣ.

ἔγωγε, καὶ δᾴδων γ' ἁμὲ
αὖρα τις εἰςέπνευσε μυστικωτάτη.
ἀλλ' ἡρέμα πτήξαντες ἀκροασώμεθα.

ΧΟΡΟΣ.

315 Ἴακχ', ὦ Ἴακχε.
Ἴακχ', ὦ Ἴακχε.

ΞΑΝΘΙΑΣ.

τοῦτ' ἔστ' ἐκεῖνο, δέσποθ', οἱ μεμυημένοι
ἐνταῦθά που παίζουσιν, οὓς ἔφραζε νῷν.
ᾄδουσι γοῦν τὸν Ἴακχον ὄνπερ Διαγόρας.

ΔΙΟΝΥΣΟΣ.

320 κἀμοὶ δοκοῦσιν. ἡσυχίαν τοίνυν ἄγειν
βέλτιστόν ἐστιν, ὡς ἂν εἰδῶμεν σαφῶς.

ΧΟΡΟΣ.

Ἴακχ', ὦ πολυτίμητ' ἐν ἕδραις ἐνθάδε ναίων,

---

V. 313. ἐξέπνευσε scholiastes ad Eurip. Hecub. 441. p. 101. ed. Matth.: εἰςέπνευσε grammaticus Etymol. Gud. p. 660, 32.

V. 314. ἡρεμεῖ edd. ante Brunckium. ἡρέμα BDFG, non Ravennas. Cum vulgata ἡρεμεῖ comparavi ego ἀτρεμεῖ in Athenaei loco quodam inventum, in indice in Commentariis vol. VI.

V. 319. ᾄδουσιν οὖν edd. ante Brunckium praeter Iuntinam primam. ᾄδουσι γοῦν A, F ex correctione, H, Ravennas, Baroccianus, Suidas v. Ἴακχος. ἄγουσι γοῦν C. — ὥςπερ Brunckius edidit tacite. Et ita Suidas. Recte relicui libri ὄνπερ.

V. 320. τοίνυν γ' ἄγειν edd. ante Brunckium. τοίνυν ἄγειν ACE, Ravennas, Baroccianus, Borgianus.

V. 321. σαφές Vaticanus.

V. 322.—460. Rationes horum versuum metricas breviter declarabimus:

Ἴακχ', ὦ Ἴακχε,
ἔλθὲ τόνδ' ἀνὰ λειμῶνα χορεύσων,
ὁσίους ἐς θιασώτας,
πολύκαρπον μὲν τινάσσων
περὶ κρατὶ σῷ βρύοντα
στέφανον μύρτων· θρασεῖ δ' ἐγκατακρούων
ποδὶ τὰν ἀκόλαστον
φιλοπαίγμονα τιμὰν,
χαρίτων πλεῖστον ἔχουσαν μέρος, ἁγνὴν, ἱερὰν
ὁσίοις μύσταις χορείαν.

ΞΑΝΘΙΑΣ.

ὦ πότνια πολυτίμητε Δήμητρος κόρη,

---

322 — 332. = 336 — 346. .
333 — 335. trimetri.
347 — 364. anapaesti.
365 — 370. = 371 — 376. .
377, 378. anapaesti.
379 — 383. = 384 — 388. .
389 — 393. = 440 — 444. .
394 — 411. tria systemata paria.
412 — 415. = 445 — 448. .
416 — 439. octo systemata paria.
449 — 454. = 455 — 460. .

V. 322. Libri omnes *πολυτιμήτοις*. Correxit Reisigius I. p. 299. . — *ἐν* recepi ex Iuntina prima, FH, Ravennate, Barocciano, Borgiano.

V. 323. *Ἴακχ' ὦ Ἴακχ' ὦ Ἴακχε* Baroccianus.

V. 325. Suidas v. *θίασος*.

V. 327. *περὶ* Ravennas. Legebatur *ἀμφὶ*, consentiente Eustathio p. 1715, 62. . *ἐπὶ* Eustathius p. 701, 2. .

V. 329. 330. *τὴν — τιμὴν* FG, Ravennas, Baroccianus, Borgianus, Elbingensis, Monacensis. Quos non sumus secuti. Contra spernendum iudicamus quod Brunckius v. 331. invexit *ἁγνὰν*, neque in ullo, opinor, libro inventum, nec scriptum ab Aristophane.

V. 332. *ὁσίοισι* F. — *μύσταισι* FG, Ravennas, Borgianus. *ὁσ. μύσταισι χ. ἀ. ἱερὰν* Baroccianus.

V. 333. *κόρα* FH.

ὡς ἡδύ μοι προσέπνευσε χοιρείων κρεῶν.

ΔΙΟΝΤΣΟΣ.

335 οὔκουν ἀτρέμ' ἕξεις, ἤν τι καὶ χορδῆς λάβῃς;

ΧΟΡΟΣ.

ἔγειρε φλογέας λαμπάδας ἐν χερσὶ τινάσσων,
Ἴακχ', ὦ Ἴακχε,
νυκτέρου τελετῆς φωσφόρος ἀστήρ.
φλογὶ φέγγεται δὲ λειμών·
340 γόνυ πάλλεται γερόντων·
ἀποσείονται δὲ λύπας,
χρονίους τ' ἐτῶν παλαιῶν ἐνιαυτούς,

---

V. 336. Legebatur,

ἔγειρε φλογέας λαπά-
δας· ἐν χερσὶ γὰρ ἥκεις·
τινάσσων —.

Verba γὰρ ἥκεις eiecit Hermannus Elem. doctr. metr. p. 501. Minus subtili iudicio usi veteres critici τινάσσων expulerunt. Scholiastes, ὁ δὲ λόγος κολοβός ἐστιν, εἰ μὴ τὸ τινάσσων ἀντὶ τοῦ τινασσόμενος. ἐν δέ τισιν ἐκλέλοιπε τὸ τινάσσων. τινάσσων abest ab libro G, adscripto scholio, τὸ τινάσσων ἐξεβλήθη ὑπ' ἐμοῦ.

V. 337. Ἴακχε edd. omnes praeter Iuntinam primam. Ἴακχ', ὦ Ἴακχε F G, Ravennas, Borgianus, Iuntina prima, quaeque eam expressit, Parisina a. 1528. ὦ ἴακχε ἴακχε Baroccianus. Scholiastes, ἴακχ' ὦ ἴακχε ἀναλόγως τῇ στροφῇ γράφουσι καὶ τὸ χερσὶν εἰς τὸ ἔγειρε συνάπτουσιν. ἥκεις γὰρ κατὰ ἀναστροφήν.

V. 339. φλέγεται AC, Vaticanus, scholiastae editio Aldina. γρ. φλέγεται E.

V. 341. ἀποσείεται edd. ante Brunckium. ἀποσείονται AC, Ravennas, Vaticanus, Baroccianus, Borgianus.

V. 342. Legebatur, χρονίων τ' ἐτῶν | παλαιοὺς ἐνιαυτούς. Atque ita BD. Post παλαιοὺς Portus adiecit τ', inde in aliquot edd. receptum. χρονίων ἐτῶν, παλαιούς τ' ἐνιαυτοὺς C et Baroccianus. χρόνων τ' ἐτῶν Vaticanus. χρονίους τ' ἐτῶν παλαιῶν ἐνιαυτοὺς ex Ravennate Invernizius, χρονίους etiam ex Borgiano libro commemorans. χρόνους τ', ἐτῶν παλαιοὺς ἐνιαυτοὺς AE, Brunckius. Scholiastes, χρονίων τ' ἐτῶν. εἰ μὲν οὕτω γρά-

ἱερᾶς ὑπὸ τιμᾶς.
σὺ δὲ λαμπάδι φέγγων
προβάδην ἔξαγ' ἐπ' ἀνθηρὸν ἔλειον δάπεδον
χοροποιὸν, μάκαρ, ἦβαν.

εὐφημεῖν χρὴ, κἀξίστασθαι τοῖς ἡμετέροισι χοροῖσιν,
ὅστις ἄπειρος τοιῶνδε λόγων, ἢ γνώμῃ μὴ καθαρεύει,
ἢ γενναίων ὄργια Μουσῶν μήτ' εἶδεν μήτ' ἐχόρευσεν,
μηδὲ Κρατίνου τοῦ ταυροφάγου γλώττης βακχεῖ' ἐτελέσθη,
ἢ βωμολόχοις ἔπεσιν χαίρει, μὴ 'ν καιρῷ τοῦτο ποιοῦσιν,
ἢ στάσιν ἐχθρὰν μὴ καταλύει, μηδ' εὔκολός ἐστι πολίταις,

---

φεται, ἰωνικόν ἐστι πενθημιμερὲς ἐκ παίωνος τρίτου ἀναλόγως τῷ ἐν τῇ στροφῇ ὀγδόῳ· εἰ δὲ χρόνους τ' ἐτῶν, ὡς ἐν τοῖς πλείοσιν, ἰαμβικὴ ταυτοποδία. ἐτῶν ἐνιαυτοὺς ex hoc loco affert Eustathius p. 191. et ἐτῶν χρονίους ἐνιαυτοὺς p. 1384, 63.. χρονίους τ' ἐτῶν παλαιοὺς ἐνιαυτοὺς Reisig. ad Oed. Col. p. 335..

V. 343. τιμῆς E, Ravennas.

V. 344. λαμπάσι E, Baroccianus. — Legebatur φλέγων. Hermannus φέγγων.

V. 345. Edd. ante Brunckium ἔξαγε πάνθηρον. Correctum ex libris.

V. 346. χαροποιὸν AC, Vaticanus.

V. 347. affert Priscianus vol. II. p. 185. ed. Krehl., v. 347. 348. idem p. 206. et Suidas v. ἐξίστασθαι, v. 347.-350. Plutarchus Moral. p. 348. D., v. 347.-352. Gellius in praefatione p. 13. ed. Conr..

V. 348. γνώμην EFH, Baroccianus, Borgianus. γλώσσῃ Plutarchus. — καθαρεύοι ABDEFH, Borgianus, edd. ante Bergleram praeter Venetam Farrei, Suidae codex Oxoniensis.

V. 349. 350. Suidas v. ταυροφάγον. In mente hunc locum habuit Etymol. M. p. 747, 51..

V. 349. Libri editi alii μήτ' ἴδε πω, alii μήτ' οἶδέ πω. Quorum prius quum retinuisset Brunckius, in annotatione veram scripturam restituit, repertam in CF, Ravennate, Barocciano, Borgiano, Gellio, Suida. μήτ' οἶδε μήτ' AH, Vaticanus. μήτ' ἦσε μήτ' Plutarchus.

V. 350. μήτε F, Ravennas, scholiastes, Suidas. εἴτε Κρατίνου liber Poggianus.

ἀλλ' ἀνεγείρει καὶ ῥιπίζει, κερδῶν ἰδίων ἐπιθυμῶν,
ἢ τῆς πόλεως χειμαζομένης ἄρχων καταδωροδοκεῖται,
ἢ προδίδωσιν φρούριον ἢ ναῦς, ἢ ταπόῤῥητ' ἀποπέμπει
ἐξ Αἰγίνης Θωρυκίων ὤν, εἰκοστολόγος κακοδαίμων,
ἀσκώματα καὶ λίνα καὶ πίτταν διαπέμπων εἰς Ἐπίδαυρον,
ἢ χρήματα ταῖς τῶν ἀντιπάλων ναυσὶν παρέχειν τινὰ πείθει,
ἢ κατατιλᾷ τῶν Ἑκαταίων, κυκλίοισι χοροῖσιν ὑπᾴδων,
ἢ τοὺς μισθοὺς τῶν ποιητῶν ῥήτωρ ὤν, εἶτ' ἀποτρώγει,
κωμῳδηθεὶς ἐν ταῖς πατρίοις τελεταῖς ταῖς τοῦ Διονύσου·
τούτοις αὐδῶ καὐθις ἀπαυδῶ καὐθις τὸ τρίτον μάλ' ἀπαυδῶ
ἐξίστασθαι μύστωσι χοροῖς· ὑμεῖς δ' ἀνεγείρεσθε μολπὴν
καὶ παννυχίδας τὰς ἡμετέρας, αἳ τῇδε πρέπουσιν ἑορτῇ.

χώρει νυν πᾶς ἀνδρείως
εἰς τοὺς εὐανθεῖς κόλπους
λειμώνων ἐγκρούων
κἀπισκώπτων

---

V. 357. Etymol. M. p. 155, 18., Suidas v. ἀσκώματα, Thomas M. v. θύλακος.

V. 358. παρέχειν ἀναπείθει Vaticanus. παρέχειν πείθει τινά Baroccianus.

V. 359. ἐπᾴδων B C D, scholiastes ad v. 153..

V. 362. Edd. ante Brunckium, τούτοισιν ἀπαυδῶ, καὐθις ἀπαυδῶ, καὐθις μάλ' ἀπαυδῶ. Correctum ex Gellio, ab quo liber Ravennas et Suidas v. ἀπαυδῶ eo discrepant, quod τούτοις ἀπαυδῶ habent, τοισίδ' ἀπαυδῶ voluit Po[illegible] Parisinorum librorum varietatem lectionis non annotavit [illegible]nckius. τούτοις ἀπ. κἄ. ἀπ. καὐθις τρίτον ἀπαυδῶ G. τούτοις ἀ. κ. ἀ. καὐθις τρίτον μάλ' ἀπαυδῶ H. τούτοις ἀπαυδῶ, κ' αὖθις ἀπαυδῶ, τρίτον μάλ' ἀπαυδῶ Borgianus. γρ. καὶ τρίτον L. τρίτον ex libro Vaticano memorat Kusterus.

V. 363. Suidas v. ἐξίστασθαι.

V. 365. Legebatur χώρει δὴ νῦν. δὴ abest ab libro Baroccia-no. Recte.

V. 366. τόπους pro κόλπους scriptum in F H, et γρ. Baroccianо. κόλπους τῶν καθ' ᾄδου λειμώνων Iuntina prima, Brunckius.

V. 368. κἀπισκώπτων Ravennas. Legebatur καὶ σκώπτων.

καὶ παίζων καὶ γελυάζων.
ἠρίστηται δ' ἐξαρκούντως.

ἀλλ' ἔμβα χὤπως ἀρεῖς
τὴν Σώτειραν γενναίως
τῇ φωνῇ μολπάζων,
ἢ τὴν χώραν
σώζειν φήσ' ἐς τὰς ὥρας,
κἂν Θωρυκίων μὴ βούληται.

ἄγε νυν ἑτέραν ὕμνων ἰδέαν τὴν καρποφόρον βασίλειαν,
Δήμητρα θεὰν, ἐπικοσμοῦντες ζαθέαις μολπαῖς κελαδεῖτε.

Δήμητερ, ἁγνῶν ὀργίων
ἄνασσα, συμπαραστάτει,
καὶ σῶζε τὸν σαυτῆς χορόν·
καί μ' ἀσφαλῶς πανήμερον
παῖσαί τε καὶ χορεῦσαι·
καὶ πολλὰ μὲν γέλοιά μ' εἰ-
πεῖν πολλὰ δὲ σπουδαῖα, καὶ
τῆς σῆς ἑορτῆς ἀξίως
παίσαντα καὶ σκώψαντα νι-
κήσαντα ταινιοῦσθαι.

---

V. 371. αἰ[illegible]dd. ante Portum et liber Ravennas. αἴρῃς BDFG, Barbo[illegible]us, Poggianus, Portus, Kusterus, Brunckius in textu. αἴροις A. αἴρεις C. ἀρεῖς Scaligeri Excerpta, Valckenar. ad Theocrit. I. 112., Brunckius in annotatione, quamvis indocte μὲν ἀρεῖς proponens. Ceterum emendavi vitiosam versum distinctionem.

V. 378. ζαθέοις Baroccianus, Elbingensis.

V. 384. 385. Liber Ravennas,

καὶ πολλὰ μὲν γέλοιά μ' εἰπεῖν,
πολλὰ δὲ καὶ σπουδαῖα,
καὶ —.

ἄγ' εἶα
νῦν καὶ τὸν ὡραῖον θεὸν
παρακαλεῖτε δεῦρο
ᾠδαῖσι, τὸν ξυνέμπορον
τῆσδε τῆς χορείας.

Ἴακχε πολυτίμητε, μέλος ἑορτῆς
ἥδιστον εὑρών, δεῦρο συνακολούθει
πρὸς τὴν θεὸν
καὶ δεῖξον ὡς ἄνευ πόνου
πολλὴν ὁδὸν περαίνεις.
Ἴακχε φιλοχορευτά, συμπρόπεμπέ με.

σὺ γὰρ κατεσχίσω μὲν ἐπὶ γέλωτι
κἀπ' εὐτελείᾳ τόν τε σανδαλίσκον
καὶ τὸ ῥάκος,
κἄξευρες ὥστ' ἀζημίους
παίζειν τε καὶ χορεύειν.
Ἴακχε φιλοχορευτά, συμπρόπεμπέ με.

καὶ γὰρ παραβλέψας τι μειρακίσκης
νῦν δὴ κατεῖδον, καὶ μάλ' εὐπροσώπου,
συμπαιστρίας
χιτωνίου παραῤῥαγέν-
τος τιτθίον προκύψαν.
Ἴακχε φιλοχορευτά, συμπρόπεμπέ με.

---

V. 389. 390. Legebatur versu trimetro,
ἄγ' εἶα νῦν γε καὶ τὸν ὡραῖον θεόν —.
γε particula abest ab Ravennate, Barocciano, Borgiano. Bentleius ἀλλ' εἶα.

V. 401. σοὶ γὰρ διδόαμεν ἐπ' εὐτελείᾳ τὸν σανδαλίσκον Suidas v. εὐτέλεια. — Legebatur κἀπ' εὐτελείᾳ τόνδε τὸν σανδαλίσκον. Emendarunt Bentleius, Elmsleius ad Acharn. v. 1201.

V. 402. τό γε ῥάκος Ravennas. τὸ ῥάκος Suidas v. ῥάκος.

V. 406. Διο. praefixum in G.

V. 409. διαῤῥαγέντος Ravennas. Ceteri παραῤῥαγέντος.

ΞΑΝΘΙΑΣ.

ἐγὼ δ' ἀεί πως φιλακόλου-
θός εἰμι καὶ μετ' αὐτῆς
παίζων χορεύειν βούλομαι.

ΔΙΟΝΤΣΟΣ.

415 κἄγωγε πρός.

ΧΟΡΟΣ.

βούλεσθε δῆτα κοινῇ
σκώψωμεν Ἀρχέδημον;
ὃς ἐπιέτης ὢν οὐκ ἔφυσε φράτορας,
νυνὶ δὲ δημαγωγεῖ
420 ἐν τοῖς ἄνω νεκροῖσι,
κἀστὶν τὰ πρῶτα τῆς ἐκεῖ μοχθηρίας.

---

V. 412. Xanthiae persona in editionibus Aldina et Iuntina prima non praefixa, ut haec choro continuari videantur. Versus autem vulgo ita descripti:

ἐγὼ δ' ἀεί πως φιλακόλουθός εἰμι καὶ μετ' αὐτῆς
παίζων χορεύειν βούλομαι. Δι. κἄγωγε πρός.

Ravennas,

ἐγὼ δ' ἀεί πως φιλακόλου-
θός εἰμι καὶ μετ' αὐτῆς
παίζων χορεύειν βούλομαι. Δι. κἄγωγε πρός.

Quorum versuum ea est cum v. 445. – 448. similitudo ut respondere sibi videri possint ita scripti:

ἐγὼ δ' ἀεί πως φιλακόλου-
θός εἰμι καὶ μετ' αὐτῆς
παίζων χορεύειν βούλομαι.
Δι. κἄγωγε πρὸς . . . . .

---

ἐγὼ δὲ σὺν ταῖσιν κόραι-
σιν εἶμι καὶ γυναιξίν,
οὗ παννυχίζουσιν θεᾷ,
καὶ φέγγος ἱερὸν οἶσω.

V. 418. 419. Suidas v. δημαγωγεῖ.

V. 421. ἐκεῖθεν scholiastes.

τὸν Κλεισθένη δ' ἀκούω
ἐν ταῖς ταφαῖσι πρωκτὸν
τίλλειν ἑαυτοῦ καὶ σπαράττειν τὰς γνάθους·
κἀκόπτετ' ἐγκεκυφὼς,
κἄκλαε, κἀκεκράγει
Σεβῖνον, ὅστις ἐστὶν ἀναφλύστιος.
καὶ Καλλίαν γέ φασι
τοῦτον τὸν Ἱπποβίνου
κύσθου λεοντῆν ναυμαχεῖν ἐνημμένον.

ΔΙΟΝΥΣΟΣ.

ἔχοιτ' ἂν οὖν φράσαι νῷν
Πλούτων', ὅπου 'νθάδ' οἰκεῖ;
ξένω γάρ ἐσμεν, ἀρτίως ἀφιγμένω.

ΧΟΡΟΣ.

μηδὲν μακρὰν ἀπέλθῃς,
μηδ' αὖθις ἐπανέρῃ με,
ἀλλ' ἴσθ' ἐπ' αὐτὴν τὴν θύραν ἀφιγμένος.

---

V. 422. *τὸν Κλεισθένην* CH, Baroccianus. *τὸν Κλεισθένους* ABDFG, Ravennas, Elbingensis, Monacensis, Iuntina prima. In C gl. *τὸν Καλλίαν*, in F *υἱόν*. Loci huius mentionem facit scholiastes Theocriti V, 48. p. 91. Gaisf., pro Clisthene Cleonem per errorem nominans.

V. 426. — *ἄγη* F. *καὶ κεκράγει* Ravennas. *κἄκλαε* Brunckius ex AC. Scribebatur *κἄκλαεε*.

V. 427. *Σεβεῖνον* Ravennas. — Legebatur *Ἀναφλύστιος*. Articulum addiderunt Bentleius et Porson. ad Eurip. Orest. 1645. . Brunckius, *ἔστ' Ἀναφλύστιος*.

V. 429. *τοῦτον* Dukerus, Brunckius ex BD. Legebatur *τουτονί*. *τὸν Ἱππορίνου* Suidas v. *ἱππόκορυς*. — De *Ἱπποβίνῳ* schol. ad Eurip. Phoen. 28. .

V. 430. *κίσθου* edd. ante Berglerum et scholiastes ad v. 504. in ed. Aldina. Correctum ex libris MSS. et Suida v. *ἱππόκορυς*. Eustathius p. 746, 16. *ἡ παρὰ τῷ κωμικῷ κύσθου ἢ κύσου λεοντή*.

V. 432. *Πλούτων'* EF, Ravennas, Baroccianus. Legebatur *Πλούτων*.

V. 434. Suidas v. *μηδέν*.

ΔΙΟΝΥΣΟΣ.

αἴροι' ἄν αὖθις ὦ παῖ.

ΞΑΝΘΙΑΣ.

τουτὶ τί ἦν τὸ πρᾶγμα
ἀλλ' ἢ Διὸς Κόρινθος ἐν τοῖς στρώμασιν;

ΧΟΡΟΣ.

440 χωρεῖτε
νῦν ἱερὸν ἀνὰ κύκλον θεᾶς,
ἀνθοφόρον ἀν' ἄλσος
παίζοντες οἷς μετουσία
θεοφιλοῦς ἑορτῆς·
445 ἐγὼ δὲ σὺν ταῖσιν κόραις
εἶμι καὶ γυναιξίν,
οὗ παννυχίζουσιν θεᾷ,
φέγγος ἱερὸν οἴσων.

χωρῶμεν ἐς πολυῤῥόδους
450 λειμῶνας ἀνθεμώδεις,
τὸν ἡμέτερον τρόπον,
τὸν καλλιχορώτατον,

---

V. 437. Edd. ante Brunckium praeter Iuntinam primam, αἴροις ἂν αὖθις αὖ γε παῖ τὰ στρώματα. (Iuntina prima, αἴροις ἂν αὖθις ὦ παῖ τά γε στρώματα.) αἴροι' ἄν ABCDEFGH, Barocc-cianus, Brunckius. Codex Ravennas, αἴροι' ἂν αὖθις ὦ παῖ τὰ στρώματα. Recte, modo τὰ στρώματα eiiciantur. Quod etiam Bothius perspexit. ὦ pro αὖ γε FH, Baroccianus, Vaticanus et γε. L.

V. 439. Scholiastes Platonis in Euthyd. p. 368. ed. Bekker..

V. 445.-448. Tribuunt hos versus alii libri choro, alii hemichorio, alii Dionyso, unus adeo A Sacerdoti. Victorius in libro Poggiano, Ἐγὼ. τὸ τοῦ μιχελοπτίου οὐκ ἔχει ἐνταῦθα τὸ τοῦ διονύσου πρόσωπον.

V. 447. θεᾷ Ravennas. Legebatur θεαί.

V. 449. πολυῤῥόθους FH, Baroccianus. Gl. πολυήχους ἢ πολυανθεῖς in F, πολυήχους in H.

παίζοντες, ὃν ὄλβιαι
Μοῖραι ξυνάγουσιν.
μόνοις γὰρ ἡμῖν ἥλιος
καὶ φέγγος ἱλαρόν ἐστιν,
ὅσοι μεμυήμεθ' εὐ-
σεβῆ τε διήγομεν
τρόπον περὶ τοὺς ξένους
καὶ τοὺς ἰδιώτας.

---

V. 456. καὶ ante φέγγος excidit in Barocciano. — ἱερόν pro ἱλαρόν FH, Ravennas.

V. 459. Legebatur περί τε ξένους. περὶ τοὺς ξένους FH, Ravennas, Suidas v. ἰδιῶται. περὶ ξένους G. περί τε τοὺς ξένους AE, Baroccianus, Borgianus.

ΔΙΟΝΤΣΟΣ. ΞΑΝΘΙΑΣ. ΑΙΑΚΟΣ. ΘΕΡΑΠΑΙΝΑ ΠΕΡΣΕΦΟΝΗΣ. ΠΑΝΔΟΚΕΤΡΙΑΙ ΔΥΟ. ΧΟΡΟΣ ΜΥΣΤΩΝ.

---

ΔΙΟΝΤΣΟΣ.

Ἄγε δὴ τίνα τρόπον τὴν θύραν κόψω; τίνα;
πῶς ἐνθάδ' ἄρα κόπτουσιν οὐπιχώριοι;

ΞΑΝΘΙΑΣ.

οὐ μὴ διατρίψεις, ἀλλὰ γεύσει τῆς θύρας,
καθ' Ἡρακλέα τὸ σχῆμα καὶ τὸ λῆμ' ἔχων;

ΔΙΟΝΤΣΟΣ.

παῖ, παῖ.

ΑΙΑΚΟΣ.

τίς αὖτος;

ΔΙΟΝΤΣΟΣ.

Ἡρακλῆς ὁ καρτερός.

ΑΙΑΚΟΣ.

ὦ βδελυρὲ κἀναίσχυντε καὶ τολμηρὲ σύ,
καὶ μιαρὲ καὶ παμμίαρε καὶ μιαρώτατε,

---

V. 462. Scribebatur οἱ ᾽πιχώριοι, οὐπιχώριοι AF.

V. 463. διατρίψῃς edd. ante Brunckium. — γεύσει — ἔχων; Elmsleius ad Eurip. Medeam p. 251. . Legebatur, γεῦσαι — ἔχων. .

V. 466. καὶ τολμηρὲ κἀναίσχυντε σὺ Baroccianus. Vid. ad Pac. v. 182. .

ὃς τὸν κύν' ἡμῶν ἐξελάσας τὸν Κέρβερον
ἀπῆξας ἄγχων κἀποδρὰς ᾤχου λαβών,
ὃν ἐγὼ 'φύλαττον. ἀλλὰ νῦν ἔχει μέσος·
τοία Στυγός σε μελανοκάρδιος πέτρα,
Ἀχερόντιός τε σκόπελος αἱματοσταγὴς
φρουροῦσι, Κωκυτοῦ τε περίδρομοι κύνες,
Ἔχιδνά θ' ἑκατογκέφαλος, ἢ τὰ σπλάγχνα σου
διασπαράξει, πνευμόνων τ' ἀνθάψεται
Ταρτησία μύραινα· τῷ νεφρῷ δέ σου
αὐτοῖσιν ἐντέροισιν ἡματωμένῳ
διασπάσονται Γοργόνες Τιθράσιαι,
ἐφ' ἃς ἐγὼ δρομαῖον ὁρμήσω πόδα.

ΞΑΝΘΙΑΣ.

οὗτος, τί δέδρακας;

ΔΙΟΝΥΣΟΣ.

ἐγκέχοδα· κάλει θεόν.

---

V. 468. ἡμῖν F, Baroccianus.

V. 469. Scribebatur ἀπῆξας.

V. 471.—479. Suidas v. τοία.

V. 472. Stephanus Byz. et Suidas v. Ἀχέρων. — αἱματοσταγὴς annotatum in Bekkeri Anecd. I. p. 362, 9.

V. 474. ἑκατογκέφαλος emendate scriptum in ABCDGH atque Ravennate. Ceteri libri editionesque ante Brunckium ἑκατοντακέφαλος, ut in Nub. 336., consentiente Suida v. τοία. Primus correxit Bisetus.

V. 475. Scribebatur πλευμόνων. πνευμάνων ABCDFG, Vaticanus, Baroccianus, Elbingensis, Suidas. Quod vulgari formae anteponendum iudicavi, etsi πλευμόνων diserte testatur Eustathius p. 483, 10. Sophoclem Trachin. v. 778. comparavit Κοραῆς ad Xenocratem p. 185.

καὶ διώδυνος
σπαραγμὸς αὐτοῦ πνευμόνων ἀνθήψατο.

Ibi quoque libri aliquot πλευμόνων.

V. 478. Suidas v. γοργόνες.

ΞΑΝΘΙΑΣ.

ὦ καταγέλαστ', οὔκουν ἀναστήσει ταχὺ,
πρίν τινά σ' ἰδεῖν ἀλλότριον;

ΔΙΟΝΥΣΟΣ.

ἀλλ' ὡρακιῶ.
ἀλλ' οἶσε πρὸς τὴν καρδίαν μου σπογγιάν.

ΞΑΝΘΙΑΣ.

ἰδοὺ λαβέ.

ΔΙΟΝΥΣΟΣ.

πρόσθου.

ΞΑΝΘΙΑΣ.

ποῦ 'στιν; ὦ χρυσοῖ θεοί,
485 ἐνταῦθ' ἔχεις τὴν καρδίαν;

ΔΙΟΝΥΣΟΣ.

δείσασα γὰρ
εἰς τὴν κάτω μου κοιλίαν καθείρπυσεν.

ΞΑΝΘΙΑΣ.

ὦ δειλότατε θεῶν σὺ κἀνθρώπων,

ΔΙΟΝΥΣΟΣ.

ἐγώ;
πῶς δειλός, ὅστις σπογγιὰν ᾔτησά σε;
οὔκουν ἕτερός γ' αὖτ' εἰργάσατ' ἀνήρ.

---

V. 483. οἶσαι FG, Barocciauus, Iuntina prima. οἶσε Suidas v. σπογγιά.

V. 484. Verba ποῦ 'στιν; Dionyso tribuunt edd. ante Brunckium. Correctum ex MSS. libroque Poggiano. ποῦ 'στι γῆν; scriptum in Barocciano.

V. 486. μοι Vaticanus.

V. 487. σὺ θεῶν Barocciauus.

V. 489. οὐκ ἂν ἕτερος Excerpta Scaligeri, Brunckius. οὐ τἂν ἕτερος Elmsleius ad Sophocl. Aiac. v. 1338. , οὐ δειλότερος C. —

ΞΑΝΘΙΑΣ.

ἀλλὰ τί;

ΔΙΟΝΥΣΟΣ.

κακέκειτ' ἂν ὀσφραινόμενος, εἴπερ δειλὸς ἦν·
ἐγὼ δ' ἀνέσκην, καὶ προσέτ' ἀπεψησάμην.

ΞΑΝΘΙΑΣ.

ἀνδρεῖά γ', ὦ Πόσειδον.

ΔΙΟΝΥΣΟΣ.

οἶμαι, νὴ Δία.
σὺ δ' οὐκ ἔδεισας τὸν ψόφον τῶν ῥημάτων
καὶ τὰς ἀπειλάς;

ΞΑΝΘΙΑΣ.

οὐ μὰ Δί', οὐδ' ἐφρόντισα.

ΔΙΟΝΥΣΟΣ.

ἴθι νυν, ἐπειδὴ λημάτιᾷς κἀνδρεῖος εἶ,
σὺ μὲν γενοῦ 'γώ, τὸ ῥόπαλον τουτὶ λαβὼν
καὶ τὴν λεοντῆν, εἴπερ ἀφοβόσπλαγχνος εἶ·
ἐγὼ δ' ἔσομαί σοι σκευοφόρος ἐν τῷ μέρει.

ΞΑΝΘΙΑΣ.

φέρε δὴ ταχέως αὖτ'· οὐ γὰρ ἀλλὰ πειστέον·
καὶ βλέψον εἰς τὸν Ἡρακλειοξανθίαν,
εἰ δειλὸς ἕρμαι, καὶ κατὰ σὲ τὸ λῆμ' ἔχων.

ΔΙΟΝΥΣΟΣ.

μὰ Δί', ἀλλ' ἀληθῶς οὐκ Μελίτης μαστιγίας.

---

γ' αὖτ' repositum ex F et Ravennate. Legebatur ταῦτ'. Ex Barocciano αὖτ' enotatum.

V. 490. κατέκειτ' ὀσφραινόμενος Suidas v. ὀσφραντικόν.

V. 495. ἴθι. — ληματίας Bentleius.

V. 498. σκευοφόρος enotavit Pollux X, 14.

V. 502. Hesychius v. ἐκ Μελίτης μαστιγίας.

φέρε νυν, ἐγὼ τὰ στρώματ' αἴρωμαι ταδί.

ΘΕΡΑΠΑΙΝΑ.

ὦ φίλταθ' ἥκεις Ἡράκλεις; δεῦρ' εἴσιθι.
ἡ γὰρ θεός σ' ὡς ἐπύθεθ' ἥκοντ', εὐθέως
ἔπεττεν ἄρτους, ἧψε κατερικτῶν χύτρας
ἕνους δύ' ἢ τρεῖς, βοῦν ἀπηνθράκιζ' ὅλον,
πλακοῦντας ὤπτα, κολλάβους. ἀλλ' εἴσιθι.

ΞΑΝΘΙΑΣ.

κάλλιστ', ἐπαινῶ.

ΘΕΡΑΠΑΙΝΑ.

μὰ τὸν Ἀπόλλω, οὐ μή σ' ἐγὼ
περιύψομἀπελθόντ', ἐπεί τοι καὶ κρέα
ἀνέβραττεν ὀρνίθεια, καὶ τραγήματα
ἔφρυγε, κῷνον ἀνεκεράννυ γλυκύτατον.
ἀλλ' εἴσιθ' ἅμ' ἐμοί.

ΞΑΝΘΙΑΣ.

πάνυ καλῶς.

ΘΕΡΑΠΑΙΝΑ.

ληρεῖς ἔχων·
οὐ γάρ σ' ἀφήσω, καὶ γὰρ αὐλητρίς γέ σοι

---

V. 503. αἴρομαι CF.

V. 505. σ' omissum in FH, Barocciano.

V. 506. κατερεικτοῦ Diaconus ad Hesiod. scut. Herc. 287. p. 525. Gaisf. Vulgatam habet Etymol. M. p. 387, 14.

V. 507. βοῦν δ' Suidas v. ἀπηνθράκιζεν.

V. 508. Male δεῦρ' εἴσιθι pro ἀλλ' εἴσιθι Ravennas et Monacensis.

V. 509. Libri scripti et editi omnes, περιόψομαι ἀπελθόντ'.

V. 510. Etymolog. M. p. 551, 27., Suidas v. κῷνον.

V. 513. ληρεῖς ἔχων· οὐ γάρ σ' ἀφήσω. Dionyso haec tribuunt libri omnes et scholiastes. Correctum in Excerptis Scaligeri et a Brunckio in annotatione.

ἤδη 'νδον ἔσθ' ὡραιοτάτη, κωρχηστρίδες
ἕτεραι δύ' ἢ τρεῖς

ΞΑΝΘΙΑΣ.

πῶς λέγεις; ὀρχηστρίδες;

ΘΕΡΑΠΑΙΝΑ.

ἠβυλλιῶσαι κἄρτι παρατετιλμέναι.
ἀλλ' εἴσιθ', ὡς ὁ μάγειρος ἤδη τὰ τεμάχη
ἤμελλ' ἀφαιρεῖν χἠ τράπεζ' εἰσήρετο.

ΞΑΝΘΙΑΣ.

ἴθι νυν, φράσον πρώτιστα ταῖς ὀρχηστρίσιν
ταῖς ἔνδον οὔσαις αὐτὸς ὡς εἰσέρχομαι.
ὁ παῖς, ἀκολούθει δεῦρο τὴ σκεύη φέρων.

ΔΙΟΝΥΣΟΣ.

ἐπίσχες οὗτος. οὔ τί που σπουδὴν ποιεῖς,
ὅτιή σε παίζων Ἡρακλέα 'νεσκεύασα;

---

V. 515. ἤδ' ἔνδον edd. ante Brunckium, μι' ἔνδον Brunckius, quod Ravennatis Borgianique librorum auctoritate confirmari narrat Invernizius. Quem de Ravennate quum mendacii convicerit Bekkerus, credulus sit oportet qui de Borgiano fidem non deneget. Recepi quae mihi cum Seidlero communis emendatio est, ἤδη 'νδον. Ita μὴ 'νδον Thesmoph. 1187., ἤδη 'στίν et ἤδη 'ξέρχεται in Pace.

V. 516. Ξα. πῶς λέγεις; Θε. ὀρχηστρίδες ἠβ. — Ravennas, Vaticanus.

V. 517. Etymol. M. p. 283, 51., Suidas v. ἠβυλλιῶσαι.

V. 520. Legebatur ταῖς αὐλητρίσι. Correctum ex E F H, Ravennate.

V. 523. Libri aliquot et scholiastes ad Plut. v. 143. οὔ τοι που.

V. 524. Legebatur Ἡρακλέα γ' ἐσκεύασα. Inutilem γε particulam amovit Elmsleius ad Acharn. v. 385. qua recepimus correctione. Liber Baroccianus Ἡρακλέα 'σκεύασα.

οὐ μὴ φλυαρήσεις ἔχων, ὦ Ξανθία,
ἀλλ' ἀράμενος οἴσεις πάλιν τὰ στρώματα;

ΞΑΝΘΙΑΣ.

τί δ' ἔστιν; οὐ δή πού μ' ἀφελέσθαι διανοεῖ
ἃ δωκας αὐτός;

ΔΙΟΝΥΣΟΣ.

οὐ τάχ' ἀλλ' ἤδη ποιῶ.
κατάθου τὸ δέρμα.

ΞΑΝΘΙΑΣ.

ταῦτ' ἐγὼ μαρτύρομαι
καὶ τοῖς θεοῖσιν ἐπιτρέπω.

ΔΙΟΝΥΣΟΣ.

ποίοις θεοῖς;
τὸ δὲ προςδοκῆσαί σ' οὐκ ἀνόητον καὶ κενὸν
ὡς δοῦλος ὢν καὶ θνητὸς Ἀλκμήνης ἔσει;

ΞΑΝΘΙΑΣ.

ἀμέλει, καλῶς· ἔχ' αὖτ'. ἴσως γάρ τοι ποτὲ
ἐμοῦ δεηθείης ἄν, εἰ θεὸς θέλοι.

ΧΟΡΟΣ.

ταῦτα μὲν πρὸς ἀνδρός ἐστι
νοῦν ἔχοντος καὶ φρένας, καὶ
πολλὰ περιπεπλευκότος,

---

V. 525. φλυαρήσης ADF, Baroccianus, Elbingensis, Monacensis.

V. 526. Legebatur ἀράμενός γ'. Omittunt particulam CD, Baroccianus.

V. 532. Ἀλκμήνης γ' ἔσει A.

V. 534. Θέλει C et scholiastes ad v. 463. . Θέλῃ F.

V. 535.—542. Suidas v. ταῦτα πρὸς ἀνδρός.

μετακυλινδεῖν αὐτὸν ἀεὶ
πρὸς τὸν εὖ πράττοντα τοῖχον
μᾶλλον ἢ γεγραμμένην
εἰκόν' ἑστάναι, λαβόνθ' ἓν
σχῆμα. τὸ δὲ μεταστρέφεσθαι
πρὸς τὸ μαλθακώτερον
δεξιοῦ πρὸς ἀνδρός ἐστι
καὶ φύσει Θηραμένους.

ΔΙΟΝΤΣΟΣ.

οὐ γὰρ ἂν γέλοιον ἦν, εἰ
Ξανθίας μὲν δοῦλος ὢν ἐν
στρώμασιν Μιλησίοις
ἀνατετραμμένος κυνῶν ὀρ-
χηστρίδ', εἶτ' ἤτησεν ἀμίδ', ἐ-
γὼ δὲ πρὸς τοῦτον βλέπων
τοῦ 'ρεβίνθου 'δραττόμην· οὗ-
τος δ', ἅτ' ὢν αὐτὸς πανοῦργος,
εἶδε, κἄτ' ἐκ τῆς γνάθου
πὺξ πατάξας μοὐξέκοψε
τοὺς χορούς τοὺς προσθίους;

---

V. 538. *μετακυλινδεῖν γ'* A. — Scribebatur *αἰεί*, *ἀεὶ* F, Baroccianus, Suidas.

V. 539. *μᾶλλον τοῖχον* A, Brunckius.

V. 542. *μεταστρέφεσθαι* edd. ante Brunckium. *μεταστρέφεσθ' ἀεὶ* Ravennas, Baroccianus, Suidas v. *δεξιός* et *μαλθακώτερον*, ubi v. 542.—545. commemorantur. *μεταστρέφειν* ACFH. In C gl. *μεταστρέφεσθαι*. In F *μεταστρέφειν* gl. supra *μετακυλ.* v. 538.

V. 546. Legebatur, *οὐ γὰρ δὴ γέλοιον*. Emendatum ex EFH, Ravennate, Vaticano, Barocciano. *οὐ γὰρ γέλοιον* AC.

V. 549. Libri *κινῶν*. Correxerunt Bentleius, Brunckius ad Pac. 1138. et Porsonus ad Toupium vol. IV. p. 488.

V. 552. 553. *αὐτὸς δ' ἅτ' ὢν πανοῦργος* Ravennas, Vaticanus, Baroccianus.

V. 555. *μ' ἐξέκοψε* CF, Baroccianus.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Α.

Πλαθάνη, Πλαθάνη, δεῦρ' ἔλθ', ὁ πανοῦργος οὑτοσὶ,
ὃς εἰς τὸ πανδοκεῖον εἰσελθὼν ποτὲ
ἐκπαίδεκ' ἄρτους κατέφαγ' ἡμῶν.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Β.

νὴ Δία,
ἐκεῖνος αὐτὸς δῆτα.

ΞΑΝΘΙΑΣ.

κακὸν ἥκει τινί.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Α.

καὶ πρέα γε πρὸς τούτοισιν ἀνάβραστ' εἴκοσιν
ἀν' ἡμιωβολιαῖα.

ΞΑΝΘΙΑΣ.

δώσει τις δίκην.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Α.

καὶ τὰ σκόροδα τὰ πολλά.

ΔΙΟΝΥΣΟΣ.

ληρεῖς ὦ γύναι
κοὐκ οἶσθ' ὅ τι λέγεις.

---

V. 557. ἦλθ' FH, Baroccianus. — Quae nobis in proximis versibus *Πανδοκεύτρια β* cum Brunckio dicitur, *Πλαθάνη* vocatur in edd. ante Brunckium.

V. 559. Scribebatur *κατέφαγεν. κατέφαγ'* Bentleius et ex codice Veneto Hermannus in Elem. doctr. metr. p. 133. — ἡμῖν F, Baroccianus. — Verbis *νὴ Δία* cet. in BCD praefixum *ἑτέρα πανδοκεύτρια*. In A, ut vulgo, *Πλαθάνη*.

V. 561. Suidas v. *ἀνάβραστα*.

V. 562. *ἀνημιωβολιαῖα* edd. ante Brunckium. Correctum ex DG et Polluce IX, 64.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Α.

οὐμενοῦν με προςεδόκας,
ὅτιὴ κοθόρνους εἶχες, ἂν γνῶναί σ' ἔτι;
τί δαί; τὸ πολὺ τάριχος οὐκ εἴρηκά πω.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Β.

μὰ Δί', οὐδὲ τὸν τυρόν γε τὸν χλωρὸν, τάλαν,
ὃν οὗτος αὐτοῖς τοῖς ταλάροις κατήσθιεν.
κἄπειτ' ἐπειδὴ ταὐργύριον ἐπραττόμην,
ἔβλεψεν εἴς με δριμὺ κἀμυκᾶτό γε.

ΞΑΝΘΙΑΣ.

τούτου πάνυ τοὔργον, οὗτος ὁ τρόπος πανταχοῦ.

---

V. 564. *οὔμενούν με* edd. ante Kusterum. — *γε* pro *με* Baroccianus.

V. 565. *ἔχεις* Baroccianus. — Legebatur *ἀναγνῶναι. αὖ γνῶναι* Borgianus. *ἂν γνῶναι* Elmsleius ad Acharn. v. 178. p. 72. ed. Lips. . — Edd. ante Kusterum, *Παν. οὔμενουν — ἔτι. Πα. τί δαί; — κἀμυκᾶτό γε.* Kusterus, *Πα. οὐμενοῦν* cet. *Πα. τί δαί;* cet. . Brunckius, *Πανδ. α. οὐμενοῦν* cet. . *Πανδ. β. τί δαί; — κἀμυκᾶτό γε.* Codex A, *πανδοκ. οὐμενοῦν —. ἄλλη πανδοκ. τί δαί;* cet. . V. 566.—570. in A et C unius sunt personae. Contra in B D et Barocciano v. 567. — 570. alteri cauponae tribuuntur. Correxi haec ut res postulabat. Apparet enim v. 566., *τί δαί; τὸ πολὺ τάριχος οὐκ εἴρηκά πω.*, non alii convenire personae quam *Πανδοκευτρίᾳ α*, quae quum alia Herculis facinora commemorasset, hoc se *nondum* tetigisse dicit de salsamentis.

V. 568. Edd. ante Portum, *ὄνπερ σὺν αὐτοῖσι ταλάροις.* quae Portus ita immutavit ut *ὅνπερ σὺν αὐτοῖσι τοῖς* scriberet, Kusterus, *ὅνπερ σὺν αὐτοῖς τοῖς*, quomodo scriptum est in B G. *αὐτοῖς τοῖς ταλάροις* scholiastes et grammaticus Bekkeri I. p. 466, 30., *αὐτοῖς ταλάροις* Suidas v. *αὐτοῖς* Veram scripturam, *ὃν οὗτος αὐτοῖς τοῖς ταλάροις* servarunt C D, Ravennas et Vaticanus. *ὃν οὗτος αὐτοῖς ταλάροις* E F H (*οὕτως* H), Baroccianus. *ὃν οὗτος αὐτοῖσι ταλάροις* liber Poggianus. *ὃν αὐτὸς αὐτοῖς ταλάροις* A. *ὃν αὐτὸς αὐτοῖς τοῖς ταλάροις* Borgianus, Brunckius.

V. 570. Scribebatur *εἰς ἐμέ. εἴς με* scribendum praecepimus annotatione ad Equites v. 292. . *εἰς μέ* Suidae codex Oxon. v. *ἐμυκᾶτο.*

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Β.

καὶ τὸ ξίφος γ' ἐσπᾶτο, μαίνεσθαι δοκῶν.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Α.

νὴ Δία, τάλαινα.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Β.

νὼ δὲ δείσασαί γέ πω
ἐπὶ τὴν κατήλιφ' εὐθὺς ἀνεπηδήσαμεν·
ὁ δ' ᾤχετ' ἐξάξας γε, τοὺς ψιάθους λαβών.

ΞΑΝΘΙΑΣ.

καὶ τοῦτο τοὔτου τοὔργον. ἀλλ' ἐχρῆν τι δρᾶν.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Α.

ἴθι δὴ πάλεσον τὸν προστάτην Κλεώνά μοι.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Β.

σὺ δ' ἔμοιγ', ἐάνπερ ἐπιτύχῃς, Ὑπέρβολον,
ἵν' αὐτὸν ἐπιτρίψωμεν.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Α.

ὦ μιαρὰ φάρυγξ,

---

V. 572. cum proximi versus initio, *νὴ Δία τάλαινα.*, tribuebatur *Πανδ. α.* Correxit Brunckius. — Verba *νὴ Δία, τάλαινα* Xanthiae inepte tribuuntur in ABCDFG, Baroeciano. — *καὶ τὸ ξίφος δ'* Baroccianus.

V. 573. Scribendum videtur *πως*.

V. 575. *ἐξάξας* in *ἐξάξας* primus mutavit Kusterus. — Legebatur *τὰς ψιάθους*. Scholiastes, *τὰς ψιάθους. ἐν τῷ Καλλιστράτῳ γέγραπται τοὺς ψιάθους, καὶ ὅτι σεσημείωται τοῦτο, ὅτι ἀρσενικῶς εἶπε. ψιάθους* masculino genere dixisse Aristophanem annotat Suidas. Hoc recepi.

V. 576. Suidas v. *τοῦτο*.

V. 577. – 579. *ἴθι δὴ* — *ἐπιτρίψωμεν Πανδοκευτρία α* tribuunt edd. ante Brunckium. Correctum ex C. — 577. in G Dionyso tribuitur. Cuius persona versui 576. in C praefixa, si Brunckio fides.

ὡς ἡδέως ἄν σου λίθῳ τοὺς γομφίους
κόπτοιμ' ἄν, οἷς μου κατέφαγες τὰ φορτία.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Β.

ἐγὼ δ' ἐς τὸ βάραθρον ἐμβάλοιμί σε.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Α.

ἐγὼ δὲ τὸν λάρυγγ' ἄν ἐκτέμοιμί σου,
δρέπανον λαβοῦσ', ᾧ τὰς χόλικας κατέσπασας.
ἀλλ' εἶμ' ἐπὶ τὸν Κλέων', ὃς αὐτοῦ τήμερον
ἐκπηνιεῖται ταῦτα προσκαλούμενος.

ΔΙΟΝΥΣΟΣ.

κάκιστ' ἀπολοίμην, Ξανθίαν εἰ μὴ φιλῶ.

ΞΑΝΘΙΑΣ.

οἶδ', οἶδα τὸν νοῦν· παῦε, παῦε τοῦ λόγου.
οὐκ ἂν γενοίμην Ἡρακλῆς ἄν.

ΔΙΟΝΥΣΟΣ.

μηδαμῶς,
ὦ Ξανθίδιον.

---

V. 582. Scholiastes Ravennas, *τινὲς φασι τὸν Διόνυσον λέγειν τοῦτον τὸν στίχον.* — Edd. ante Brunckium *εἰς. ἐς* etiam G. *ἐγὼ δ' ἐς τὸ* BD. *ἐγὼ δ' εἰς τὸ* C, ut coniecturae locus sit, *ἐγὼ δ' ἂν ἐς τὸ* —.

V. 584. Legebatur *τοὺς κόλικας. τοὺς χόλικας* Schweighaeuserus ad Athen. vol. VII. p. 540. et Schaeferus ad Gregor. Cor. p. 550. Ad utramque scripturam spectat scholiastae annotatio, *ἢ ἄρτους ἢ ἔντερα.* Ceterum Schaeferus optionem facit inter *τοὺς* et *τὰς χόλικας.* Praetuli posterius. Vid. Pac. v. 718.. Phrynichus Bekkeri p. 72, 5. *χόλικες: οἱ πολλοὶ ἀῤῥενικῶς, οἱ δ' ἀρχαῖοι θηλυκῶς.* Vulgata scriptura utitur Thomas M. v. *λάρυγγα* p. 570., ubi tribus modis in MSS. peccatur, *κώληκας, κόληκας, κολύκας.*

V. 586. *ἐκπδινιεῖται* EF. *ἐκπδινιεῖται* Baroccianus. Ea scriptura in scholiis commemoratur. *ἐκπηνιεῖται* cum ceteris libris Hesychius, Suidas, Eustathius p. 1323, 48.. Dubitari potest an v. 585. 586. *Πανδοκευτρία β* tribui praestet.

V. 588. Suidas v. *οἶδ' οἶδα.*

ΞΑΝΘΙΑΣ.

καὶ πῶς ἂν Ἀλκμήνης ἐγὼ
υἱὸς γενοίμην, δοῦλος ἅμα καὶ θνητὸς ὤν;

ΔΙΟΝΥΣΟΣ.

οἶδ', οἶδ' ὅτι θυμοῖ, καὶ δικαίως αὐτὸ δρᾷς·
κἂν εἴ με τύπτοις, οὐκ ἂν ἀντείποιμί σοι.
ἀλλ' ἦν σε τοῦ λοιποῦ ποτ' ἀφέλωμαι χρόνου,
ῥόῥιζος αὐτὸς, ἡ γυνὴ, τὰ παιδία,
κάκιστ' ἀπολοίμην, πἀρχέδημος ὁ γλάμων.

ΞΑΝΘΙΑΣ.

δέχομαι τὸν ὅρκον, κἀπὶ τούτοις λαμβάνω.

ΧΟΡΟΣ.

νῦν σὸν ἔργον ἔστ', ἐπειδὴ
τὴν στολὴν εἴληφας, ἥνπερ
εἶχες ἐξ ἀρχῆς, πάλιν
ἀνανεάζειν σαυτὸν ἀεὶ
καὶ βλέπειν αὖθις τὸ δεινὸν,
τοῦ θεοῦ μεμνημένον
ᾧπερ εἰκάζεις σεαυτόν.
εἰ δὲ παραλήρῶν ἁλώσει

---

V. 592. Edd. ante Brunckium θυμεῖ. Correctum ex libris MSS..

V. 593. κἂν εἴ γε τύπτοις μ' B, Brunckius. κἂν εἴ γε τύπτεις μ' G. κἂν εἴ με τύπτῃς Suidas v. οἶδ' οἶδα. Revocavi vulgatam scripturam, etiam in Ravennate libro repertam.

V. 596. Suidas v. γλάμων et v. κἀρχέδημος.

V. 599. ἦν εἶχες A.

V. 601. σαυτὸν ἀεὶ (vulgo αἰεὶ) omissa in FH, Ravennate, Barocciano, Borgiano. Gl. σεαυτὸν (ἑαυτὸν Barocc.) πρὸς τὸ σοβαρὸν in FH, Ravennate, Barocciano. Vulgata scriptura enotata ex G.

V. 605. ἢν — ἁλῷς — βάλῃς ex A Brunckius. εἰ — ἁλώσει — βάλῃς edd. ante Brunckium. Correxi ex C et Ravennate, aliis etiam libris veram scripturam partim praebentibus.

καὶ βαλεῖς τι μαλθακὸν,
αὖθις αἴρεσθαί σ' ἀνάγκη
τις πάλιν τὰ στρώματα.

ΞΑΝΘΙΑΣ.

οὐ κακῶς ὦνδρες παραινεῖτ',
ἀλλὰ καὐτὸς τυγχάνω ταῦτ'
ἄρτι συννοούμενος.
ὅτι μὲν οὖν, ἦν χρηστὸν ἦ τι,
ταῦτ' ἀφαιρεῖσθαι πάλιν πει-
ράσεταί μ', εὖ οἶδ' ὅτι.
ἀλλ' ὅμως ἐγὼ παρέξω
ἐμαυτὸν ἀνδρεῖον τὸ λῆμα
καὶ βλέποντ' ὀρίγανον.
δεῖν δ' ἔοικεν, ὡς ἀκούω
τῆς θύρας καὶ δὴ ψόφον.

ΑΙΑΚΟΣ.

ξυνδεῖτε ταχέως τουτονὶ τὸν κυνοκλόπον,
ἵνα δῷ δίκην· ἀνύετον.

ΔΙΟΝΥΣΟΣ.

ἥκει τῷ κακόν.

ΞΑΝΘΙΑΣ.

οὐκ ἐς κόρακας; μὴ πρόσιτον.

ΑΙΑΚΟΣ.

εἶεν, καὶ μάχει;

---

V. 608. τις excidit in CFH, Barocciano. αὖθις αἴρεσθαί σε πάλιν τὰ στρώματα A.

V. 613. τοῦτ' Ravennas.

V. 616. 617. Suidas v. λῆμα, ubi παρέξομ' αὐτὸν scriptum.

V. 618. Suidas v. δεῖν.

V. 622. οὐ μὴ πρόσιτον; Elmsleius ad Eurip. Medeam p. 251. comparato Acharn. v. 165. Tum delet καί.

ὁ Διτύλας χὠ Σκεβλίας χὠ Παρδόκας
χωρεῖτε δευρὶ καὶ μάχεσθε τουτοί.

ΔΙΟΝΥΣΟΣ.

εἶτ' οὐχὶ δεινὰ ταῦτα, τύπτειν τουτονὶ
κλέπτοντα πρὸς τἀλλότρια;

ΞΑΝΘΙΑΣ.

μὴ ἀλλ' ὑπερφυᾶ.

ΑΙΑΚΟΣ.

σχέτλια μὲν οὖν καὶ δεινά.

ΞΑΝΘΙΑΣ.

καὶ μὴν νὴ Δία,
εἰ πώποτ' ἦλθον δεῦρ', ἐθέλω τεθνηκέναι,
ἢ 'κλεψα τῶν σῶν ἄξιόν τι καὶ τριχός.
καί σοι ποιήσω πρᾶγμα γενναῖον πάνυ·
βασάνιζε γὰρ τὸν παῖδα τουτονὶ λαβών,
κἂν ποτέ μ' ἕλῃς ἀδικοῦντ', ἀπόκτεινόν μ' ἄγων.

ΑΙΑΚΟΣ.

καὶ πῶς βασανίζω;

---

V. 623. σκεβλύας FG, Ravennas, Borgianus, editiones Aldina atque Iuntina secunda, non Iuntina prima.

V. 624. δεῦρο Ravennas.

V. 625. Suidas v. δεινά. — τύπτειν κλέπτοντα τουτονὶ Borgianus.

V. 626. πρὸς γ' ἀλλότρια Reisig. ad Sophocl. Oed. Col. p. 308.. — Libri μάλ': de quo dictum ad Aves v. 109.. Scholiastes, μάλ' ὑπερφυᾶ. Τιμαχίδας βραχέως ἀξιοῖ προσφέρεσθαι ἀπιθάνως, συναλοιφῆς οὔσης ἐκ τῆς μη καὶ ἀλλά.

V. 627. σχέτλια μὲν οὖν καὶ δεινά. Haec Dionyso tribuuntur in BD.

V. 629. Suidas v. ἄξιος, Phrynichus in Bekkeri Anecdotis p. 10, 7..

V. 631.-637. Suidas v. βασανίζειν.

V. 633. βασανίσω C. βασανίζω cum ceteris libris Suidae.

ΞΑΝΘΙΑΣ.

πάντα τρόπον, ἢν κλίμακι
δήσας, κρεμάσας, ὑστριχίδι μαστιγῶν, δέρων,
στρεβλῶν, ἔτι δ' ἐς τὰς ῥῖνας ὄξος ἐγχέων,
πλίνθους ἐπιτιθείς, πάντα τἄλλα, πλὴν πράσῳ
μὴ τύπτε τοῦτον μηδὲ γητείῳ νέῳ.

ΑΙΑΚΟΣ.

δίκαιος ὁ λόγος· κἄν τι πηρώσω γέ σοι
τὸν παῖδα τύπτων, τἀργύριόν σοι κείσεται.

ΞΑΝΘΙΑΣ.

μὴ δῆτ' ἔμοιγ'. οὕτω δὲ βασάνιζ' ἀπαγαγών.

ΑΙΑΚΟΣ.

αὐτοῦ μὲν οὖν, ἵνα σοὶ κατ' ὀφθαλμοὺς λέγῃ.
κατάθου σὺ τὰ σκεύη ταχέως, χὤπως ἐρεῖς
ἐνταῦθα μηδὲν ψεῦδος.

ΔΙΟΝΤΣΟΣ.

ἀγορεύω τινὶ
ἐμὲ μὴ βασανίζειν ἀθάνατον ὄντ'· εἰ δὲ μή,
αὐτὸς σεαυτὸν αἰτιῶ.

ΑΙΑΚΟΣ.

λέγεις δὲ τί;

ΔΙΟΝΤΣΟΣ.

ἀθάνατος εἶναί φημι Διόνυσος Διὸς,
τοῦτον δὲ δοῦλον.

---

V. 633. – 637. Suidas v. κλιμακίζειν.

V. 635. ἐπί τε τὰς edd. ante Brunckium. Correctum ex libro Ravennate et Suida v. βασανίζειν et v. κλιμακίζειν. εἰς Brunckius, ut Suidas priore loco.

V. 645. αὐτὸς σεαυτὸν pro αὐτὸς σὺ σαυτὸν repositum ex Vaticano et Ravennate, αὐτὸς ἑαυτὸν Borgianus. σὺ ab Barocciano abesse notatur.

ΑΙΑΚΟΣ.

ταῦτ' ἀκούεις;

ΞΑΝΘΙΑΣ.

φήμ' ἐγώ.

καὶ πολύ γε μᾶλλόν ἐστι μαστιγωτέος·
εἴπερ θεὸς γάρ ἐστιν, οὐκ αἰσθήσεται.

ΔΙΟΝΥΣΟΣ.

τί δῆτ', ἐπειδὴ καὶ σὺ φῂς εἶναι θεός,
οὐ καὶ σὺ τύπτει τὰς ἴσας πληγὰς ἐμοί;

ΞΑΝΘΙΑΣ.

δίκαιος ὁ λόγος· χὠπότερον ἂν νῷν ἴδῃς
κλαύσαντα πρότερον, ἢ προτιμήσαντά τι
τυπτόμενον, εἶναι τοῦτον ἡγοῦ μὴ θεόν.

ΑΙΑΚΟΣ.

οὐκ ἔσθ' ὅπως οὐκ εἶ σὺ γεννάδας ἀνήρ·
χωρεῖς γὰρ εἰς τὸ δίκαιον. ἀποδύεσθε δή.

ΞΑΝΘΙΑΣ.

πῶς οὖν βασανιεῖς νὼ δικαίως;

ΑΙΑΚΟΣ.

ῥᾳδίως·
πληγὴν παρὰ πληγὴν ἑκάτερον.

ΞΑΝΘΙΑΣ.

καλῶς λέγεις.
ἰδού, σκόπει νυν, ἤν μ' ὑποκινήσαντ' ἴδῃς.

---

V. 652. χωπότερόν γ' FH, Ravennas. — Legebatur ἴδοις. Correctum ex AEFG, Ravennate, Barocciano, Borgiano.

V. 656. Brunckius ἐς.

V. 659. Brunckius: „ἰδού, σκόπει νῦν, ἤν μ' ὑποκινήσαντ' ἴδῃς. Sic A [F et Ravennas] optime, ut Suidas [v. ὑποκινήσαντα], et cod. Vaticanus. [Ita etiam E et Baroccianus, nisi quod

ΑΙΑΚΟΣ.

ἤδη 'πάταξά σ'.

ΞΑΝΘΙΑΣ.

οὐ μὰ Δί'.

ΑΙΑΚΟΣ.

οὐδ' ἐμοὶ δοκεῖς.
ἀλλ' εἶμ' ἐπὶ τονδὶ καὶ πατάξω.

ΔΙΟΝΥΣΟΣ.

πηνίκα;

ΑΙΑΚΟΣ.

καὶ δὴ 'πάταξα.

ΔΙΟΝΥΣΟΣ.

κἄτα πῶς οὐκ ἔπταρον;

ΑΙΑΚΟΣ.

οὐκ οἶδα· τονδὶ δ' αὖθις ἀποπειράσομαι.

ΞΑΝΘΙΑΣ.

οὔκουν ἀνύσεις; ἰαττατᾶ.

---

ἀποκ..] In B [et G] ut vulgo, σκόπει γ' ἦν με παρακινήσαντ' ἴδῃς. Sic etiam D, nisi quod γ' omittit. In C Aeaco tributum ἰδού. Xanthiae, σκόπει νῦν ἦν με παρακινήσαντ' ἴδῃς. Eadem distinctio fuisse videtur in codice, e quo descriptus fuit A. Nam in eo post ἰδοὺ vacuum relictum spatium, quantum satis est personae nomini, et ante ἴδοὺ est ξ, initium nominis Ξανθίας, quod non absolvit librarius, postquam scripta iam prima litera errorem suum deprehendit: Αἰακὸς scribere debuit. Profecto unice vera est illa distinctio, quam iuvat actio scenae, multo sic lepidior. ἰδοὺ dicit Aeacus, elato brachio, et in plagam inflicturi statu. " — νῦν ἦν με παραχ. H, Borgianus.

V. 660, δοκεῖ vel δοκῶ Bentleius.

V. 664. Ita codex Venetus, nisi quod oxytona facit quae perispomena esse monui ad v. 57. Verae scripturae vestigia supersunt in aliorum librorum vitiis. τί δῆ ταταί edd. ante Brunc-

ΔΙΑΚΟΣ.

τί τἀττατaῖ;

μᾶν ὠδυνήθης;

ΞΑΝΘΙΑΣ.

οὐ μὰ Δί', ἀλλ' ἐφρόντισα,
ὁπόθ' Ἡράκλεια τὰν Διομείοις γίγνεται.

ΔΙΑΚΟΣ.

ἄνθρωπος ἱερός. δεῦρο πάλιν βαδιστέον.

ΔΙΟΝΥΣΟΣ.

ἰαὺ ἰού.

ΔΙΑΚΟΣ.

τί ἔστιν;

ΔΙΟΝΥΣΟΣ.

ἱππέας ὁρῶ.

ΔΙΑΚΟΣ.

τί δῆτα κλάεις;

ΔΙΟΝΥΣΟΣ.

κρομμύων ὀσφραίνομαι.

ΔΙΑΚΟΣ.

ἐπεὶ προτιμᾷς γ' οὐδέν.

---

kium. *τί ταταί* Barocianus. *τὶ ἰαττατaί* AC. *τί ἀττατaί* A in margine. *τί δ' ἰαττατaί* D, Brunckius. Ravennas, *Ξα. οὔκουν ἀνύσεις; ἰαττατταττατταττατταί. Δι. μᾶν ὠδυνήθης;*. Ex Borgiano enotatum *ἰατατaὶ ἰατατaί. τί ἀττατaί.*

V. 666. Suidas v. *Διόμεια.*

V. 668. *ἱππέας ὁρῶ* ACEF, Ravennas, Baroccianus, scholiastes. *ἱππέας γ' ὁρῶ* edd. ante Brunckium.

V. 669. *κλάεις* ABF. *κλαίεις* edd. ante Brunckium.

V. 670. *ἐπεὶ* FGH, Barocccianus, ex Harleianis duobus Elmsleius ad Acharn. v. 178. p. 73. ed. Lips.. Legebatur *ἔπειτα.* — *προτιμᾷς γ' οὐδέν* edd. ante Brunckium, FH, Ravennas, Har-

ΔΙΟΝΤΣΟΣ.

οὐδέν μοι μέλει.

ΑΙΑΚΟΣ.

βαδιστέον τἄρ' ἐστὶν ἐπὶ τονδὶ πάλιν.

ΞΑΝΘΙΑΣ.

οἴμοι.

ΑΙΑΚΟΣ.

τί ἔστι;

ΞΑΝΘΙΑΣ.

ἄκανθαν ἔξελε.

ΑΙΑΚΟΣ.

τί τὸ πρᾶγμα τουτί; δεῦρο πάλιν βαδιστέον.

ΔΙΟΝΤΣΟΣ.

Ἄπολλον, ὅς που Δῆλον ἢ Πύθων' ἔχεις.

ΞΑΝΘΙΑΣ.

ἤλγησεν· οὐκ ἤκουσας;

ΔΙΟΝΤΣΟΣ.

οὐκ ἔγωγ', ἐπεὶ
ἴαμβον Ἱππώνακτος ἀνεμιμνησκόμην.

ΞΑΝΘΙΑΣ.

οὐδὲν ποιεῖς γὰρ, ἀλλὰ τὰς λαγόνας σπόδει.

---

leiani, Borgianus. προτιμᾷς τοὐδέν AC. προτιμᾷς οὐδέν BDG, Baroccianus, Brunckius. Scholiastes, ἔπειτα προτιμᾷς οὐδέν. καὶ νῦν οἷον οὐκ ἐπιστρέφῃ. δύναται δὲ τὸ αὐτὸ πρόσωπον λέγειν ὄλφ.

V. 671. βαδιστέον γ' ἄρ' libri editi. βαδιστέον ἄρ' A. βαδιστέον ἄρ' CE. βαδιστέον γάρ BDFGH. Recte Brunckius in annotatione et Elmsleius ad Acharn. v. 823. p. 103. ed. Lips.

ΔΙΑΚΟΣ.

μὰ τὸν Δί', ἀλλ' ἤδη πάρεχε τὴν γαστέρα.

ΔΙΟΝΤΣΟΣ.

Πόσειδον,

ΞΑΝΘΙΑΣ.

ἤλγησέ τις.

ΔΙΟΝΤΣΟΣ.

680 ὃς Αἰγαίου πρῶνας ἢ γλαυκᾶς μέδεις
ἁλὸς ἐν βένθεσιν.

ΔΙΑΚΟΣ.

οὔ τοι μὰ τὴν Δήμητρα δύναμαί πω μαθεῖν,
ὁπότερος ὑμῶν ἐστι θεός. ἀλλ' εἴρεσθον.
ὁ δεσπότης γὰρ αὐτὸς ὑμᾶς γνώσεται
685 χἠ Φερσέφατθ', ἅτ' ὄντε κἀκείνω θεώ.

ΔΙΟΝΤΣΟΣ.

ὀρθῶς λέγεις· ἐβουλόμην δ' ἂν τοῦτό σε
πρότερον ποιῆσαι, πρὶν· ἐμὲ τὰς πληγὰς λαβεῖν.

ΧΟΡΟΣ.

Μοῦσα χορῶν ἱερῶν ἐπίβηθι καὶ ἧλθ' ἐπὶ τέρψιν
ἀοιδᾶς ἐμᾶς,
τὸν πολὺν ὀψομένη λαῶν ὄχλον, ᾧ σοφίαι
690 μυρίαι κάθηνται,

---

ης
V. 680. γλανκάσης FH i. e. γλανκᾶς. Inutile est de metro horum verborum quaerere, cuius nulla habita ratione Dionysus recitat Sophoclea quaedam.

V. 681. ἁλός γ' FH.

V. 685. φερσέφασσ' G. περσέφασσ' F. περσέφασ' Baroccianus, Borgianus. Περσέφατθ' Brunckius tacite.

V. 687. πρὶν ἐμὲ Ravennas. Legebatur πρίν με.

V. 688. ἐμᾶς ἀοιδᾶς FH, Baroccianus.

φιλοτιμότεραι Κλεοφῶντος, ἀφ' οὗ δὴ χείλεσιν ἀμφιλάλοις
δεινὸν ἐπιβρέμεται
Θρηκία χελιδών,
ἐπὶ βάρβαρον ἔξομένη πέταλον·
κρίζει δ' ἐπίκλαυτον ἀηδόνιον νόμον, ὡς ἀπολεῖται,
κἂν ἴσαι γένωνται.
τὸν ἱερὸν χορὸν δίκαιόν ἐστι χρηστὰ τῇ πόλει
ξυμπαραινεῖν καὶ διδάσκειν. πρῶτον οὖν ἡμῖν δοκεῖ
ἐξισῶσαι τοὺς πολίτας κἀφελεῖν τὰ δείματα.
κεἴ τις ἥμαρτε σφαλείς τι Φρυνίχου παλαίσμασιν,
ἐγγενέσθαι φημὶ χρῆναι τοῖς ὀλισθοῦσιν τότε
αἰτίαν ἐκθεῖσι λῦσαι τὰς πρότερον ἁμαρτίας.
εἶτ' ἄτιμον φημὶ χρῆναι μηδέν' εἶν' ἐν τῇ πόλει.
καὶ γὰρ αἰσχρόν ἐστι τοὺς μὲν ναυμαχήσαντας μίαν
καὶ Πλαταιᾶς εὐθὺς εἶναι κἀντὶ δούλων δεσπότας.
κοὐδὲ ταῦτ' ἔγωγ' ἔχοιμ' ἂν μὴ οὐ καλῶς φάσκειν ἔχειν,
ἀλλ' ἐπαινῶ· μόνα γὰρ αὐτὰ νοῦν ἔχοντ' ἐδράσατε.
πρὸς δὲ τούτοις εἰκὸς ὑμᾶς, οἳ μεθ' ὑμῶν πολλὰ δὴ
χοἱ πατέρες ἐναυμάχησαν καὶ προσήκουσιν γένει,

---

V. 691.–693. Suidas v. *φιλοτιμότεραι*. 691.–694. scholiastes Euripidis Orest. v. 891. p. 432. ed. Matth.

V. 692. *ἐπιβρέμει* schol. ad v. 1580., *περιβρέμεται* idem ad v. 93.

V. 695. Legebatur *κελαδεῖ*. *κελαρύζει* Ravennas, Baroccianus, Borgianus et γρ. H. *κελαρύξει ἐπίκλαυτον* Suidas v. *ἐπίκλαυτον*. Dedi *κρίζει*: qua correctione etiam Seidlerum uti nomini. — *ὡς ἀπόλοιτο* Suidas v. *ἴσαι ψῆφοι* et v. *ὡς ἀπόλοιτο*.

V. 697. 698. Scriptor vitae Aristophanis in Commentariis in Nubes p. XXXVII., ubi *συμπαραινεῖν* scriptum, quemadmodum in Bergleri editione legitur, unde invitus retinuit Brunckius.

V. 700. *κἄν τις ἥμαρτε* Borgianus. — Suidas v. *παλαίσμασι* et v. *Φρυνίχου πάλαισμα*, scholiastes ad Lysistr. v. 313.

V. 703. *εἶν'* excidit in A. *εἶναι* plene scriptum in EF et Barocciano.

V. 706. *ταῦτ'* A, Brunckius. Legebatur *τοῦτ'*.

τὴν μίαν ταύτην παρεῖναι ξυμφορὰν αἰτουμένοις.
ἀλλὰ τῆς ὀργῆς ἀνέντες, ὦ σοφώτατοι φύσει,
πάντας ἀνθρώπους ἐκόντες ξυγγενεῖς κτησώμεθα,
κἀπιτίμους, καὶ πολίτας, ὅστις ἂν ξυνναυμαχῇ.
εἰ δὲ τοῦτ' ὀκνωσόμεσθα, κἀποσεμνυνούμεθα
τὴν πόλιν, καὶ ταῦτ' ἔχοντες κυμάτων ἐν ἀγκάλαις,
ὑστέρῳ χρόνῳ ποτ' αὖθις εὖ φρονεῖν οὐ δόξομεν.
εἰ δ' ἐγὼ ὀρθὸς ἰδεῖν βίον ἀνέρος ἢ τρόπον ὅστις
ἔτ' οἰμώξεται,
οὐ πολὺν οὐδ' ὁ πίθηκος οὗτος ὁ νῦν ἐνοχλῶν,
Κλειγένης ὁ μικρὸς,
ὁ πονηρότατος βαλανεὺς ὁπόσοι πρατοῦσι κυκησιτέφρου
ψευδονίτρου κονίας
καὶ Κιμωλίας γῆς,
χρόνον ἐνδιατρίψει· ἰδὼν δὲ τάδ' οὐκ

---

V. 710. *συμφορὰν* et 712. *συγγενεῖς* Baroccianus.

V. 714. Legebatur *ταῦτ'*. *τοῦτ'* D, Brunckius. *τοῦθ'* B. *ταῦθ'* C. — Edd. ante Brunckium *κἀποσεμνυνούμεθα, τὴν πόλιν καὶ* cet. . Correcta interpunctio ex D.

V. 716. *τότ'* edd. ante Brunckium. *ποτ'* DF, Vaticanus, Baroccianus. *ποθ'* B.

V. 717. *καὶ τρόπον* FH.

V. 718. Edd. ante Brunckium *ὁ πίθηκος οὗτός γ'*. Abieci particulam, omissam in ACFH, Barocciano. Brunckius *ὁ πίθηκός γ' οὗτος*.

V. 721. *ψευδονίτρου τε κονίας* edd. ante Brunckium. Omittunt particulam BDG: habent Pollux VII, 39., Suidas v. *Κλειγένης* et v. *κυκησιτέφρου*. — *ψευδολίτρου* Pollux, Suidae codex Oxoniensis altero loco, Eustathius p. 1714, 62.. *ψευδολίτρου* propter Atticorum consuetudinem *ν* in *λ* convertentium commemorat idem p. 483, 8. .

V. 722. Pollux VII, 99. X, 135. .

V. 723. *ἐκδιατρίψει* Baroccianus. Ex Borgiano enotatum, *ἐδιατρίψειεν ἐν χρόνον εἰδὼς*. — Libri *εἰδὼς*. Recte Bentleius

εἰρηνικὸς ἔσθ', ἵνα μή ποτε κἀποδυθῇ μεθύων ἄ-
νευ ξύλου βαδίζων.
πολλάκις γ' ἡμῖν ἔδοξεν ἡ πόλις πεπονθέναι
ταὐτὸν ἔς τε τῶν πολιτῶν τοὺς καλούς τε κἀγαθοὺς
ἔς τε τἀρχαῖον νόμισμα καὶ τὸ καινὸν χρυσίον.
οὔτε γὰρ τούτοισιν οὖσιν οὐ κεκιβδηλευμένοις,
ἀλλὰ καλλίστοις ἁπάντων, ὡς δοκεῖ, νομισμάτων,
καὶ μόνοις ὀρθῶς κοπεῖσι καὶ κεκωδωνισμένοις
ἔν τε τοῖς Ἕλλησι καὶ τοῖς βαρβάροισι πανταχοῦ,
χρώμεθ' οὐδέν, ἀλλὰ τούτοις τοῖς πονηροῖς χαλκίοις
χθές τε καὶ πρώην κοπεῖσι τῷ κακίστῳ κόμματι,
τῶν πολιτῶν θ' οὓς μὲν ἴσμεν εὐγενεῖς καὶ σώφρονας
ἄνδρας ὄντας καὶ δικαίους καὶ καλούς τε κἀγαθούς,
καὶ τραφέντας ἐν παλαίστραις καὶ χοροῖς καὶ μουσικῇ,
προυσελοῦμεν, τοῖς δὲ χαλκοῖς καὶ ξένοις καὶ πυῤῥίαις
καὶ πονηροῖς κἀκ πονηρῶν εἰς ἅπαντα χρώμεθα
ὑστάτοις ἀφιγμένοισιν, οἷσιν ἡ πόλις πρὸ τοῦ
οὐδὲ φαρμακοῖσιν εἰκῇ ῥᾳδίως ἐχρήσατ' ἄν.

---

*ἰδὼν*, cuius interpretatio est *εἰδώς*. Conf. v. 717. et Thucyd. V., 9.

V. 724. *κἄνευ* BDG.

V. 726. *γ'* om. CFH, Baroccianus.

V. 727. *κακούς* FH.

V. 729.–734. Pollux IX, 90., omisso versu 732.

V. 732. *βαρβάροις ἁπανταχοῦ* D, Monacensis, Brunckius. *βαρβάροις πανταχοῦ* C, Baroccianus.

V. 733. 734. Suidas v. *χαλκίοις*.

V. 735.–745. Stobaeus Ecl. XLI. vol. II. p. 105. ed. Gaisf.

V. 737. *παλαίστρᾳ* Stobaeus.

V. 738. 739. Suidas v. *προσελοῦμεν* et v. *πονηροῖς*.

V. 738. Scribebatur *προσελοῦμεν*. Brunckius *προσἐλοῦμεν*. Recte Blomfieldus ad Aeschyli Prometh. v. 447. *προυσελοῦμεν*. Apud Stobaeum *προυγελοῦμεν*. Ita etiam Hesychius a Bentleio comparatus, *προυγελεῖν*, *προπηλακίζειν*, *ὑβρίζειν*. Id est *πρου-ϝελεῖν*: vid. Kidd. ad Dawes. p. 295.

V. 741. Scholiastes ad Equites v. 1133. Respicit huc Aristides vol. II. p. 312, 9.

ἀλλὰ καὶ νῦν, ὦνόητοι, μεταβαλόντες τοὺς τρόπους,
χρῆσθε τοῖς χρηστοῖσιν αὖθις· καὶ κατορθώσαρι γὰρ
εὔλογον· κἄν τι σφαλῆτ', ἐξ ἀξίου γοῦν τοῦ ξύλου,
ἦν τι καὶ πάσχητε, πάσχειν τοῖς σοφοῖς δοκήσετε.

---

V. 744. Brunckius τον. ἀξίου γὰρ τοῦ ξύλου Stobaeus. Suidas v. ἄξιον ut vulgo. Idem hunc locum respicit v. κἄν τι.

## ΑΙΑΚΟΣ. ΞΑΝΘΙΑΣ. ΧΟΡΟΣ ΜΥΣΤΩΝ.

ΑΙΑΚΟΣ.

Νὴ τὸν Δία τὸν σωτῆρα, γεννάδας ἀνὴρ
ὁ δεσπότης σου.

ΞΑΝΘΙΑΣ.

πῶς γὰρ οὐχὶ γεννάδας,
ὅστις γε πίνειν οἶδε καὶ βινεῖν μόνον;

ΑΙΑΚΟΣ.

τὸ δὲ μὴ πατάξαι σ' ἐξελεγχθέντ' ἄντικρυς,
ὅτι δοῦλος ὢν ἔφασκες εἶναι δεσπότης.

ΞΑΝΘΙΑΣ.

ὤμωξε μέντἄν.

ΑΙΑΚΟΣ.

τοῦτο μέντοι δουλικὸν
εὐθὺς πεποίηκας, ὅπερ ἐγὼ χαίρω ποιῶν.

---

V. 746. Brunckius, „In C primo loco Οἰκέτης Αἰακοῦ, postea semper Οἰκέτης. in A modo Αἰακὸς, modo Οἰκέτης, et perturbatae admodum personae.“

V. 747. γὰρ om. Baroccianus.

V. 749. ἐξελέγξαντ' edd. ante Brunckium. ἐξελεγχθέντ' A, Ravennas, Borgianus. Eo spectant ἐξελεχθέντ' F. ἐξενεχθέντ' H. ἐλεγχέντ' Barocciani. Scholiastes, ἐξελέγξαντ' ἄντικρυς γράφεται ἐξελεγχθέντα.

V. 751. οἴμωξε edd. ante Brunckium. οἴμωξε D. οἴμοξε Monacensis. ὤμωξε Brunckius. ὤμωξε Porsonus. οἴμωξε bis scriptum in scholio libri Poggiani.

ΞΑΝΘΙΑΣ.

χαίρεις, ἱκετεύω;

ΑΙΑΚΟΣ.

μὴ ἀλλ' ἐποπτεύειν δοκῶ,
ὅταν καταράσωμαι λάθρᾳ τῷ δεσπότῃ.

ΞΑΝΘΙΑΣ.

τί δὲ τονθορύζων, ἡνίκ' ἂν πληγὰς λαβὼν
πολλὰς ἀπίῃς θύραζε;

ΑΙΑΚΟΣ.

καὶ τοῦθ' ἥδομαι.

ΞΑΝΘΙΑΣ.

τί δὲ πολλὰ πράττων;

ΑΙΑΚΟΣ.

ὡς μὰ Δί' οὐδὲν οἶδ' ἐγώ.

ΞΑΝΘΙΑΣ.

ὁμόγνιε Ζεῦ· καὶ παρακούων δεσποτῶν
ἅττ' ἂν λαλῶσι;

ΑΙΑΚΟΣ.

μὴ ἀλλὰ πλεῖν ἢ μαίνομαι.

---

V. 753. χαίρεις ἱκετεύων F, Iuntina prima. — Legebatur μάλα γ' ἐποπτεύειν. μάλ' ἐποπτεύειν AEF, Baroccianus. μάλλ' ἐποπτεύειν Ravennas. μάλιστ' ἐποπτεύειν Borgianus. Scholiastes, μάλ' ἐποπτεύειν δοκῶ. — τὸ δὲ μάλλ' εἶπεν ἀντὶ τοῦ οὐκ ἄλλα. — ἔστι δὲ καὶ ἄλλη γραφὴ μάλα γ' ἐποπτεύειν δοκῶ. ἔτι δὲ καὶ μάλ' ἐποπτεύειν μοι δοκῶ. Vide ad Avium v. 109.

V. 754. τὸν δεσπότην Borgianus.

V. 756. Libri ἀπῇς. Correxit Kusterus. — τοῦθ' Ravennas. Legebatur τόθ'.

V. 759. ὅταν edd. ante Brunckium. Correctum ex AC, Vaticano, Ravennate, Borgiano. — μάλα γε πλεῖν edd. ante Brunckium. μάλα πλεῖν CFH, Baroccianus. καὶ μάλα πλεῖν A, Ravennas, Borgianus, Brunckius. Vide ad Avium v. 109.

ΞΑΝΘΙΑΣ.

τί δὲ τοῖς θύραξε ταῦτα καταλαλῶν;

ΑΙΑΚΟΣ.

ἐγώ;
μὰ Δί', ἀλλ' ὅταν δρῶ τοῦτο, κἀκμιαίνομαι.

ΞΑΝΘΙΑΣ.

ὦ Φοῖβ' Ἄπολλον, ἔμβαλέ μοι τὴν δεξιὰν,
καὶ δὸς κύσαι καὐτὸς κύσον, καί μοι φράσον,
πρὸς Διὸς, ὃς ἡμῖν ἐστιν ὁμομαστιγίας,
τίς οὗτος ὄὖνδον ἐστὶ θόρυβος χὴ βοὴ
χὠ λοιδορησμός;

ΑΙΑΚΟΣ.

Αἰσχύλου κεὐριπίδου.

ΞΑΝΘΙΑΣ.

ἆ.

ΑΙΑΚΟΣ.

πρᾶγμα, πρᾶγμα μέγα κεκίνηται, μέγα,
ἐν τοῖς νεκροῖσι, καὶ στάσις πολλὴ πάνυ.

ΞΑΝΘΙΑΣ.

ἐκ τοῦ;

ΑΙΑΚΟΣ.

νόμος τις ἐνθάδ' ἐστὶ κείμενος

---

V. 760. καταλαλεῖν ex Aristophane affert Pollux II, 125.: ex perdita Aristophanis fabula *Γήρᾳ* Antiatticistes Bekkeri p. 102, 15.

V. 763. κἀμοὶ Borgianus, Brunokius.

V. 765. οὔνδὸν C. ὁ ἔνδον A. — καὶ βοὴ Ravennas.

V. 765. λοιδορισμὸς D.

V. 767. Ita liber Ravennas. Legebatur, πρᾶγμα γὰρ κεκίνηται μέγα. πρᾶγμα μέγα κεκίνηται πάνυ Vaticanus et A. πρᾶγμα κεκίνηται μέγα B et Baroccianus. πρᾶγμα σφόδρα κεκίνηται μέγα C. πρᾶγμα γὰρ σφόδρα μέγα κεκίνηται Borgianus.

V. 768. πάνυ πολλὴ Baroccianus.

ἀπὸ τῶν τεχνῶν, ὅσαι μεγάλαι καὶ δεξιαί,
τὸν ἄριστον ὄντα τῶν ἑαυτοῦ ξυντέχνων
σίτησιν αὐτὸν ἐν πρυτανείῳ λαμβάνειν,
θρόνον τε τοῦ Πλούτωνος ἑξῆς,

ΞΑΝΘΙΑΣ.

μανθάνω.

ΑΙΑΚΟΣ.

ἕως ἀφίκοιτο τὴν τέχνην σοφώτερος
ἕτερός τις αὐτοῦ· τότε δὲ παραχωρεῖν ἔδει.

ΞΑΝΘΙΑΣ.

τί δῆτα τουτὶ τεθορύβηκεν Αἰσχύλον;

ΑΙΑΚΟΣ.

ἐκεῖνος εἶχε τὸν τραγῳδικὸν θρόνον,
ὡς ὢν κράτιστος τὴν τέχνην.

ΞΑΝΘΙΑΣ.

νυνὶ δὲ τίς;

ΑΙΑΚΟΣ.

ὅτε δὴ κατῆλθ' Εὐριπίδης, ἐπεδείκνυτο
τοῖς λωποδύταις καὶ τοῖς βαλαντιητόμοις
καὶ τοῖσι πατραλοίαισι καὶ τοιχωρύχοις,
ὅπερ ἔστ' ἐν Ἅιδου πλῆθος· οἱ δ' ἀκροώμενοι
τῶν ἀντιλογιῶν καὶ λυγισμῶν καὶ στροφῶν

---

V. 770. ὁπόσαι A, Brunckius.

V. 771. *συντέχνων* edd. ante Brunckium. *ξυντέχνων* EF, Baroccianus.

V. 775. *τότε δὴ* F, Baroccianus.

V. 779. *ὅτε δὲ* FH. — *κατῆλθεν* edd. ante Brunckium. Correctum ex ACEFH, Barocciano.

V. 780. *καὶ τοῖσι βαλαντ.* A, Brunckius. Articulus abest ab libro Barocciano; recte, si *λωποδύταισι* scribas.

V. 781. *καὶ τοῖς π.* F.

V. 783. *λογισμῶν* Baroccianus. Hanc scripturam commemorat scholiastes in aliis libris inventam.

ὑπερεμάνησαν, κἀνόμισαν σοφώτατον
κἄπειτ' ἐπαρθεὶς ἀντελάβετο τοῦ θρόνου,
ἵν' Αἰσχύλος καθῆστο.

ΞΑΝΘΙΑΣ.

κοὐκ ἐβάλλετο;

ΑΙΑΚΟΣ.

μὰ Δί', ἀλλ' ὁ δῆμος ἀνεβόα κρίσιν ποιεῖν,
ὁπότερος εἴη τὴν τέχνην σοφώτερος.

ΞΑΝΘΙΑΣ.

ὁ τῶν πανούργων;

ΑΙΑΚΟΣ.

νὴ Δί', οὐράνιόν γ' ὅσον.

ΞΑΝΘΙΑΣ.

μετ' Αἰσχύλου δ' οὐκ ἦσαν ἕτεροι ξύμμαχοι;

ΑΙΑΚΟΣ.

ὀλίγον τὸ χρηστόν ἐστιν, ὥσπερ ἐνθάδε.

ΞΑΝΘΙΑΣ.

τί δῆθ' ὁ Πλούτων δρᾶν παρασκευάζεται;

ΑΙΑΚΟΣ.

ἀγῶνα ποιεῖν αὐτίκα μάλα καὶ κρίσιν
κἄλεγχον αὐτῶν τῆς τέχνης.

ΞΑΝΘΙΑΣ.

κἄπειτα πῶς
οὐ καὶ Σοφοκλέης ἀντελάβετο τοῦ θρόνου;

ΑΙΑΚΟΣ.

μὰ Δί' οὐκ ἐκεῖνος, ἀλλ' ἔκυσε μὲν Αἰσχύλον,
ὅτε δὴ κατῆλθε, κἀνέβαλε τὴν δεξιάν,

---

V. 797. κἀνέβαλλε Baroccianus.

κἀκεῖνος ὑπεχώρησεν αὐτῷ τοῦ θρόνου·
νυνὶ δ' ἔμελλεν, ὡς ἔφη Κλειδημίδης,
ἔφεδρος καθεδεῖσθαι· κἂν μὲν Αἰσχύλος κρατῇ,
ἔξειν κατὰ χώραν· εἰ δὲ μή, περὶ τῆς τέχνης
διαγωνιεῖσθ' ἔφασκε πρός γ' Εὐριπίδην.

ΞΑΝΘΙΑΣ.

τί χρῆμ' ἄρ' ἔσται;

ΑΙΑΚΟΣ.

νὴ Δί', ὀλίγον ὕστερον
κἀνταῦθα δὴ τὰ δεινὰ κινηθήσεται.
καὶ γὰρ ταλάντῳ μουσικὴ σταθμήσεται.

ΞΑΝΘΙΑΣ.

τί δέ; μειαγωγήσουσι τὴν τραγῳδίαν;

ΑΙΑΚΟΣ.

καὶ κανόνας ἐξοίσουσι, καὶ πήχεις ἐπῶν,
καὶ πλαίσια ξύμπηκτα πλινθεύσουσί γε,
καὶ διαμέτρους καὶ σφῆνας. ὁ γὰρ Εὐριπίδης
κατ' ἔπος βασανιεῖν φησὶ τὰς τραγῳδίας.

ΞΑΝΘΙΑΣ.

ἦπου βαρέως οἶμαι τὸν Αἰσχύλον φέρειν.

ΑΙΑΚΟΣ.

ἔβλεψε δ' οὖν ταυρηδὸν ἐγκύψας κάτω.

---

V. 802. *πρὸς Εὐριπίδην* FGH, Baroccianus.

V. 805. *ἀλλ' ἢ ταλάντῳ* Etymolog. M. p. 744, 20., Suidas v. *τάλαντον*, grammaticus MS. in Biblioth. Coislin. p. 475. . Ita etiam libri scripti Pollucis IX, 52., aliis *ἀλλ' ἡ* aliis *ἀλλὴ* praebentibus. — *κριθήσεται* Pollux, Etymologus, non Suidas.

V. 808. *ξύμπτκτα* CDG. *ξύμπτυκτα* E et Baroccianus cum libris scriptis Pollucis X, 148. . *σύμπηκτα* Suidas v. *πλαίσια*, ubi MS. Oxon. *σύμπυκτα*.

V. 812. *ἔβλεφε δ' οὖν* Ravennas. Edd. ante Brunckium *ἔβλεψεν οὖν*. *ἔβλεψε γοῦν* ABCDFGH, Baroccianus, Suidas v. *ταυ-*

ΞΑΝΘΙΑΣ.

κρινεῖ δὲ δὴ τίς ταῦτα;

ΑΙΑΚΟΣ.

τοῦτ' ἦν δύσκολον·
σοφῶν γὰρ ἀνδρῶν ἀπορίαν εὑρισκέτην.
οὔτε γὰρ Ἀθηναίοισι συνέβαιν' Αἰσχύλος,

ΞΑΝΘΙΑΣ.

πολλοὺς ἴσως ἐνόμιζε τοὺς τοιχωρύχους.

ΑΙΑΚΟΣ.

λῆρόν τε τἄλλ' ἡγεῖτο τοῦ γνῶναι πέρι
φύσεις ποιητῶν· εἶτα τῷ σῷ δεσπότῃ
ἐπέτρεψαν, ὅτιὴ τῆς τέχνης ἔμπειρος ἦν.
ἀλλ' εἰσίωμεν· ὡς ὅταν γ' οἱ δεσπόται
ἐσπουδάκωσι, κλαύμαθ' ἡμῖν γίγνεται.

ΧΟΡΟΣ.

ἦπου δεινὸν ἐριβρεμέτας χόλον ἔνδοθεν ἕξει,
ἡνίκ' ἂν ὀξυλάλου περ ἴδῃ Θήγοντος ὀδόντας
ἀντιτέχνου· τότε δὴ μανίας ὑπὸ δεινῆς
ὄμματα στροβήσεται.
ἕξεται δ' ὑψιλόφων τε λόγων κορυθαίολα νείκη,

---

ῥηδόν in libris editis; ἔβλεψε γὰρ in codice Oxoniensi. γ' οὖν ex Elbingensi enotatum.

V. 815. Ita AC, Ravennas, Veneti duo apud Seidlerum ad Iphig. T. 437. p. 66. Edd. ante Brunckium et Suidas v. *συνέβαινεν*, *Ἀθηναίοισι συνέβαινεν*. *Ἀθηναίοισι ξυνέβαινεν* E, Baroccianus. *Ἀθηναίοις ξυνέβαινεν* BF, Borgianus, Brunckius. *Ἀθηναίοις συνέβαινεν* DG.

V. 822. Respicit Suidas v. *ἐριβρεμέτας*.

V. 823. Edd. ante Brunckium *ὀξυλάλον* (— *ων* Iunt. II.) *περ*. Brunckius *ὀξύλαλόν περ*. Recepi *ὀξυλάλου* ex codice C. — *ὀδόντα* edd. ante Portum. *ὀδόντ'* Baroccianus. *ὀδόντας* CDG, scholiastes.

V. 826. *ἱππολόφων* ACDFGHL, Baroccianus, Victorianus. — *κορυθαίολα μήκη* Salmasius in Solin. p. 735, 2. D.

σκινδαλάμων τε παραξόνια, σμιλεύματά τ' ἔργων,
φ[illegible]ς ἀμυνομένου φρενοτέκτονος ἀνδρὸς
ῥήμαθ' ἱπποβάμονα.
φρίξας δ' αὐτοκόμου λοφιᾶς λασιαύχενα χαίτην,
δεινὸν ἐπισκύνιον ξυνάγων, βρυχώμενος ἦσει
ῥήματα γομφοπαγῆ, πινακηδὸν ἀποσπῶν
γηγενεῖ φυσήματι·
ἔνθεν δὴ στοματουργὸς ἐπῶν βασανίστρια λίσπη
γλῶσσ', ἀνελισσομένη φθονερούς κινοῦσα χαλινούς,
ῥήματα δαιφμένη καταλεπτολογήσει
πνευμόνων πολὺν πόνον.

---

V. 827. Legebatur *σκινδαλμῶν*. Correxit Porsonus: ea enim est quattuor horum systematum aequalitas, ut syllabae examussim sibi respondeant. *σκινδαλμῶν* Suidas v. *σκινδάλαμοι*. *σκινδάλμων* Suidae codex Oxoniensis. *σκινδαλάμων* BDFH. *σκινδαλαμῶν* G. — *σμιλεύματα* ex hoc loco sumpsit Pollux VII, 83.

V. 830. Suidas v. *αὐτοκόμου*.

V. 832. *γομφοπαγῆ* Suidas h. v.

V. 837. *πλευμόνων* Aldina et, ut videtur, liber Ravennas. *πνευμόνων* Iuntina prima, enotatumque hoc ex ABCDFG, Barocciano, Elbingensi. Vid. ad v. 475.

ΕΥΡΙΠΙΔΗΣ. ΔΙΟΝΥΣΟΣ. ΔΙΚΑΙΟΣ. ΧΟΡΟΣ ΜΥΣΤΩΝ. ΠΛΟΥΤΩΝ.

ΕΥΡΙΠΙΔΗΣ.

Οὐκ ἂν μεθείμην τοῦ θρόνου, μὴ νουθέτει.
κρείττων γὰρ εἶναί φημι τούτου τὴν τέχνην.

ΔΙΟΝΥΣΟΣ.

Αἰσχύλε, τί αἰγᾷς; αἰσθάνει γὰρ τοῦ λόγου.

ΕΥΡΙΠΙΔΗΣ.

ἀποσεμνύνεῖται πρῶτον, ἅπερ ἑκάστοτε
ἐν ταῖς τραγῳδίαισιν ἐτερατεύετο.

ΔΙΟΝΥΣΟΣ.

ὦ δαιμόνι' ἀνδρῶν, μὴ μεγάλα λίαν λέγε.

ΕΥΡΙΠΙΔΗΣ.

ἐγῷδα τοῦτον καὶ διέσκεμμαι πάλαι,
ἄνθρωπον ἀγριοποιὸν, αὐθαδόστομον,
ἔχοντ' ἀχάλινον, ἀκρατὲς, ἀθύρωτον στόμα,

V. 838. μεθείην edd. ante Brunckium. Correctum ex ACEL, Barocciano. Scholiastes, οὐκ ἂν μεθείην. γράφεται καὶ μεθείμην.

V. 841. 842. Suidas v. ἀποσεμνύνει.

V. 843. μέγα Ravennas, Baroccianus, Borgianus.

V. 844.-847. Suidas v. ἀγριοποιόν. 844. 845. idem v. ἐγῷδα.

V. 846. Legebatur ἀπύλωτον. ἀθύρωτον repositum ex libro Ravennate et Suida v. ἀγριοποιόν. Librorum in hac re dissensus

ἀπεριλάλητον, κομπορρακελορρήμονα.

ΑΙΣΧΥΛΟΣ.

ἆληθες, ὦ παῖ τῆς ἀρουραίας θεοῦ;
σὺ δή με ταῦτ', ὦ στωμυλιοσυλλεκτάδη
καὶ πτωχοποιὲ καὶ ῥακιοσυῤῥαπτάδη;
ἀλλ' οὔ τι χαίρων αὖτ' ἐρεῖς.

---

apud sch[illegible]sten et Suidam v. ἀθύρωτον et v. ἀπύλωτον ita commemoratur, ut ἀθύρωτον probetur. Grammaticus in Bekkeri Anecd. p. 352, 11. ἀθύρωτος: ἄκλειστος. Ἀριστοφάνης.

V. 847. ἀπεριλάλητον affert Pollux II, 125.

V. 848. 849. Suidas v. ἆληθες. Ioannes Alexandrinus MS. ex Herodiano, cuius locum longiorem apponam: Ἔστι τινὰ (sc. ἐπιῤῥήματα) καὶ παρὰ αἰτιατικῆς γεγονότα, οἷον τὸ πέραν καὶ πέρην, ἀλλ' ὅσοι ναίουσι....., καὶ μετὰ προθέσεως, ἀντιπέραν λεύσουσα πυρὸς αἴλας· καὶ ἀπὸ δοτικῆς, ἐπίσχες αὐτοῦ, μὴ πέρα προβῇς λόγου· κρατῖνος ἐν εὐμένισιν. καὶ τὸ πρώην δὲ παρ' αἰτιατικὴν σχηματίζουσι, τῇδε πρῶαν· καὶ τὸ, ἀκὴν ἐγένοντο σιωπῇ· καὶ, ἀκμὴν τοι βρυὰ τῆμος ἐπὶ στήθεσσι κέχυνται, ὡς παρὰ ἀεικὲς ὄνομα ὀξύτονον ἐπιῤῥῆμα τὸ, οὗ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρῃ τεθνάμεν· καὶ τὸ, ἐπιεικὲς ὀπυιέμεν ἐστὶν ἑκάστῳ· καὶ τὸ, ὕε δ' ἄρα ξεῦς συνεχές. οὕτως ἔδει καὶ παρὰ τὸ ἀληθὲς ὄνομα τὸ ἐπιῤῥῆμα ὀξύνεσθαι· ἀλλὰ καὶ παρ' ἀθηναίοις διαστολῆς ἔτυχεν, καὶ ἐπὶ μὲν τοῦ ὀνόματος ὀξύνεται, ἐπὶ δὲ τοῦ ἐπιῤῥήματος βαρύνεται· ἆληθες ὦ παῖ τῆς ἀρουραίας θεοῦ, ἀριστοφάνης βατράχοις. καὶ ἐν νεφέλαις, τί δ' ἂν καὶ παρ' ἐκείνων καὶ μάθοι χρηστόν τις. ἆληθες, ὅσα περ ἐστὶ παρὰ τοῖς ἀνθρώποις σοφά. τοιοῦτό ἐστι καὶ τὸ ἐπιτηδὲς ὀνοματικῶς ὀξυνόμενον, ἐπιῤῥηματικῶς προπαροξυνόμενον· καὶ τὸ αὐτοετὲς ὁμοίως. καὶ τὸ χάριεν[illegible] παρ' αὐτοῖς προπαροξυνόμενον, ὅτε καὶ ἐπιῤῥηματικῶς λέγεται· ὄνομα δὲ ὂν, παροξύνεται. καὶ τὸ σφόδρα βαρύνεται, ἐπιῤῥῆμα ὂν· ὄνομα δὲ ὂν, ὀξύνεται. καὶ τὸ ἠρέμα παροξύνεται, ἐπιῤῥῆμα ὄν, δέον προπαροξύνεσθαι, ὡς καὶ τὸ ἥσυχα· πλὴν εἰ μὴ παρὰ τὸ ἠρεμῶ γέγονεν, ὡς ἀτρεμῶ ἀτρέμα. τό τε ἡσυχῇ περισπᾶται, εἰ μὴ συνεξέδραμεν τοῖς εἰς χη ἐπιῤῥήμασι περισπωμένοις, τριχῇ, πενταχῇ. καὶ τὸ αὐθημερὸν ὀξύνεται, ἀπὸ τοῦ αὐθήμερος προπερισπώμενα.

V. 851. ταῦτ' edd. ante Brunckium. αὖτ' AG. αὖτ' ex em.

ΔΙΟΝΤΣΟΣ.

παῦ' Αἰσχύλε,
καὶ μὴ πρὸς ὀργὴν σπλάγχνα θερμήνῃς κότῳ.

ΑΙΣΧΥΛΟΣ.

οὐ δῆτα, πρίν γ' ἂν τοῦτον ἀποφήνω σαφῶς
τὸν χωλοποιὸν, οἷος ὢν θρασύνεται.

ΔΙΟΝΤΣΟΣ.

ἄρν', ἄρνα μέλαιναν παῖδες ἐξενέγκατε·
τυφὼς γὰρ ἐκβαίνειν παρασκευάζεται.

ΑΙΣΧΥΛΟΣ.

ὦ Κρητικὰς μὲν ξυλλέγων μονῳδίας,
γάμους δ' ἀνοσίους εἰσφέρων εἰς τὴν τέχνην,

ΔΙΟΝΥΣΟΣ.

ἐπίσχες οὗτος, ὦ πολυτίμητ' Αἰσχύλε.
ἀπὸ τῶν χαλαζῶν δ', ὦ πόνηρ' Εὐριπίδη,
ἄπαγε σεαυτὸν ἐκποδὼν, εἰ σωφρονεῖς,
ἵνα μὴ κεφαλαίῳ τὸν κρόταφόν σου ῥήματι
θενὼν ὑπ' ὀργῆς, ἐκχέῃ τὸν Τήλεφον·
σὺ δὲ μὴ πρὸς ὀργὴν Αἰσχύλ', ἀλλὰ πραόνως

---

ei. m. Baroccianus. — παῦ' Vaticanus et L. Legebatur παῦσ', quemadmodum etiam apud Suidam scriptum v. θερμός.

V. 852. θερμαίνῃς F, Baroccianus: non Suidas.

V. 858. συμφέρων Borgianus.

V. 860. Quod aberat δ', ex Ravennate accessit. οὐκ ἀπὸ τῶν χαλαζῶν ὦ πόνηρ' Εὐριπίδη Suidas v. χάλαζα.

V. 861. ἄναγε Ravennas. — σαυτὸν F, Baroccianus.

V. 862. Ravennas ἵνα μ' ἐν. Hoc est ἵνα μὴ 'ν.

V. 863. θείνων Aldina, Iuntina I. θένων Iuntina II. et recentiores editiones, consentientibus, ut videtur, libris scriptis. Accentum correxit Blomfieldus in Edinburgh Review fasc. XXXVIII. p. 484. — Scribendum videtur ἐκχέῃς.

V. 864. — 866. Suidas v. πραόπως et v. σὺ δὲ μή.

ἔλεγχ', ἐλέγχου· λοιδορεῖσθαι δ' οὐ θέμις
ἄνδρας ποιητὰς ὥςπερ ἀρτοπώλιδας.
σὺ δ' εὐθὺς ὥςπερ πρῖνος ἐμπρησθεὶς βοᾷς.

ΕΥΡΙΠΙΔΗΣ.

ἕτοιμός εἰμ' ἔγωγε, κοὐκ ἀναδύομαι,
δάκνειν, δάκνεσθαι πρότερος, εἰ τούτῳ δοκεῖ,
τἄπη, τὰ μέλη, τὰ νεῦρα τῆς τραγῳδίας,
καὶ νὴ Δία τὸν Πηλέα γε, καὶ τὸν Αἴολον,
καὶ τὸν Μελέαγρον, κἄτι μάλα τὸν Τήλεφον.

ΔΙΟΝΥΣΟΣ.

σὺ δὲ δὴ τί βουλεύει ποιεῖν; λέγ' Αἰσχύλε.

ΑΙΣΧΥΛΟΣ.

ἐβουλόμην μὲν οὐκ ἐρίζειν ἐνθάδε·
οὐκ ἐξ ἴσου γάρ ἐστιν ἅγὼν νῷν.

ΔΙΟΝΥΣΟΣ.

τί δαί;

ΑΙΣΧΥΛΟΣ.

ὅτι ἡ ποίησις οὐχὶ σθντέθνηκέ μοι·
τούτῳ δὲ συντέθνηκεν, ὥςθ' ἕξει λέγειν.
ὅμως δ' ἐπειδή σοι δοκεῖ, δρᾶν ταῦτα χρή.

---

V. 865. Initium versus affert Eustathius p. 801, 55. — θέμις pro vulgato πρέπει scriptum in EFH, Vaticano, Barocciano. πρέπει Suidas. γρ. πρέπει H.

V. 867. Scholiastes Arati 1047. (Diosem. 315.).

V. 869. τοῦτο B.

V. 872. μᾶλλον τὸν Τήλεφον Ravennas.

V. 873. σὺ δὲ τί Baroccianus. σὺ δέ γε τί FH.

V. 874. Brunckius μὲν ἂν οὐκ.

V. 875. ἀγὼν edd. ante Brunckium. ὠ 'γὼν Vaticanus. — τιή; edd. ante Brunckium. τί δαί; A, Vaticanus.

V. 876. ὅτι ἡ AC, Ravennas, Vaticanus, Borgianus. ὁτιὴ edd. ante Brunckium.

V. 878. δ' abest ab edd. ante Brunckium. Habent AC, Ravennas.

ΔΙΟΝΤΣΟΣ.

ἴθι νυν λιβανωτὸν δεῦρό τις καὶ πῦρ δότω,
ὅπως ἂν εὔξωμαι πρὸ τῶν σοφισμάτων,
ἀγῶνα κρῖναι τόνδε μουσικώτατα·
ὑμεῖς δὲ ταῖς Μούσαις τι μέλος ὑπάσατε.

ΧΟΡΟΣ.

ὦ Διὸς ἐννέα παρθένοι ἄγναὶ
Μοῦσαι, λεπτολόγους ξυνετὰς φρένας αἳ καθορᾶτε
ἀνδρῶν γνωμοτύπων, ὅταν εἰς ἔριν ὀξυμερίμνοις
ἔλθωσι στρεβλοῖσι παλαίσμασιν ἀντιλογοῦντες,
ἔλθετ' ἐποψόμεναι δύναμιν
δεινοτάτοιν στομάτοιν πορίσασθαι
ῥήματα καὶ παραπρίσματ' ἐπῶν.
νῦν γὰρ ἀγὼν σοφίας
ὅδε μέγας χωρεῖ πρὸς ἔργον ἤδη.

ΔΙΟΝΤΣΟΣ.

εὔχεσθε δὴ καὶ σφώ τι, πρὶν τἄπη λέγειν.

ΑΙΣΧΥΛΟΣ.

Δήμητερ, ἡ θρέψασα τὴν ἐμὴν φρένα,
εἶναί με τῶν σῶν ἄξιον μυστηρίων.

---

V. 881. τοῦτον B.

V. 882. προσάσατε edd. ante Brunckium. ὑπάσατε ABC, Ravennas, Etymolog. M. p. 782, 4. ἐπάσατε DEFGH, Baroccianus, Victorianus, Elbingensis.

V. 883. ὦ om. edd. ante Brunckium: habent ABCFH, Ravennas, Baroccianus, Borgianus.

V. 886. στρεβλοῖσί τε παλαίσμασιν edd. ante Brunckium. Correctum ex ACFH, Suida v. στρεβλός.

V. 888. Legebatur πορίσασθε. Correxi ex libris Ravennate et Veneto, sublata interpunctione post στομάτοιν.

V. 889. καὶ om. edd. ante Brunckium: habent ABCDFH, Ravennas, Vaticanus, Baroccianus, scholiastes.

V. 890. Edd. ante Brunckium, ἀγὼν ὅδε σοφίας μέγας. Correctum ex ABCDH, Ravennate, Barocciano.

ΔΙΟΝΥΣΟΣ.

ἴθι νυν ἐπίθες δὴ καὶ σὺ λιβανωτόν.

ΕΥΡΙΠΙΔΗΣ.

καλῶς.
ἕτεροι γάρ εἰσιν οἷσιν εὔχομαι θεοῖς.

ΔΙΟΝΥΣΟΣ.

ἴδιοί τινές σοι, κόμμα καινόν;

ΕΥΡΙΠΙΔΗΣ.

καὶ μάλα.

ΔΙΟΝΥΣΟΣ.

ἴθι νυν προσεύχου τοῖσιν ἰδιώταις θεοῖς.

ΕΥΡΙΠΙΔΗΣ.

αἰθὴρ, ἐμὸν βόσκημα, καὶ γλώττης στρόφιγξ,
καὶ ξύνεσι καὶ μυκτῆρες ὀσφραντήρισι,
ὀρθῶς μ' ἐλέγχειν ὧν ἂν ἅπτωμαι λόγων.

ΧΟΡΟΣ.

καὶ μὴν ἡμεῖς ἐπιθυμοῦμεν

---

V. 895. Legebatur, ἐπίθες λαβὼν δὴ καὶ σὺ λιβανωτόν. — καλῶς., omissis ἴθι νυν. Liber Ravennas, ἐπίθες καὶ δὴ σὺ λιβανωτὸν λαβών. Baroccianus, ἐπίθες καὶ σὺ λιβανωτὸν λαβών. Suidas v. καλῶς, ἐπίθες καὶ σὺ δὴ λιβανωτόν, omisso λαβών. Ex his scripturae varietatibus coniicias dixisse Aristophanem quod reposui. Conf. v. 879. 898.

V. 896. θεοί A, Brunckius. θεοῖς ceteri libri et Suidas v. θεοῖς. Vid. Lobeck. ad Sophocl. Aiac. p. 343.

V. 897. ἴδιοί τινές σου Ravennas.

V. 898. ἴθι δὴ Ravennas.

V. 900. καὶ ξύνεσις edd. ante Brunckium, qui ξύνεσίς τε καὶ μυκτῆρες ex coniectura dedit. Recte Dawesius καὶ ξύνεσι. Et ita F et Ravennas. Vide Porson. ad Eurip. Phoeniss. 187.

V. 902. – 914. referuntur versibus 1002. – 1014.

παρὰ σοφοῖν ἀνδροῖν ἀκοῦσαι τίνα λόγων
ἔπιτε δαῖαν ὁδόν.
γλῶσσα μὲν γὰρ ἠγρίωται,
λῆμα δ' οὐκ ἄτολμον ἀμφοῖν,
οὐδ' ἀκίνητοι φρένες.
προσδοκᾶν οὖν εἰκός ἐστι
τὸν μὲν ἀστεῖόν τι λέξειν
καὶ κατερρινημένον,
τὸν δ' ἀνασπῶντ' αὐτοπρέμνοις
τοῖς λόγοισιν
ἐμπεσόντα συσκεδᾶν πολ-
λὰς ἀλινδήθρας ἐπῶν.

ΔΙΟΝΥΣΟΣ.

ἀλλ' ὡς τάχιστα χρὴ λέγειν· οὕτω δ' ὅπως ἐρεῖτον
ἀστεῖα, καὶ μήτ' εἰκόνας μήθ' οἷ' ἂν ἄλλος εἴποι.

ΕΥΡΙΠΙΔΗΣ.

καὶ μὴν ἐμαυτὸν μέν γε, τὴν ποίησιν οἷός εἰμι,
ἐν τοῖσιν ὑστάτοις φράσω, τοῦτον δὲ πρῶτ' ἐλέγξω,
ὡς ἦν ἀλαζὼν καὶ φέναξ, οἷοις τε τοὺς θεατὰς
ἐξηπάτα, μωροὺς λαβὼν παρὰ Φρυνίχῳ τραφέντας.
πρώτιστα μὲν γὰρ ἕνα γέ τινα καθῖσεν ἐγκαλύψας,

---

V. 903. Libri omnes τίνα λόγων ἐμμέλειαν. Eieci ἐμμέλειαν.

V. 904. Legebatur ἐπί τε. ἔπιτε scriptum in D cum gl. ἐπέλθετε. Idem gl. in G, quamvis ἐπί τε exhibente. Conf. v. 1117.

V. 906.–914. Suidas v. λῆμα.

V. 909. 910. negligentius affert Suidas v. ἀστεῖα.

V. 909. λέξαι Ravennas et Suidae codex Oxoniensis v. λῆμα.

V. 911.–914. Suidas v. ἀλινδεῖσθαι et v. αὐτόπρεμνον.

V. 914. ἀλινδήθρας ex h. l. commemorat scholiastes ad Nubes 82.

V. 915. ἐρεῖτε Baroccianus.

V. 917. μὲν καὶ pro μέν γε Baroccianus, Borgianus.

V. 921. Edd. veteres πρώτιστα μὲν γὰρ δή γ' ἕνα τινὰ κάθισεν vel κάθισεν. γὰρ δῆτα ἕνα — B, ex quo Brunckius fecit πρώτιστα μὲν γὰρ δῆθ' ἕνα τιν' ἐκάθισεν. Kusterus πρώτιστα μὲν γὰρ

Ἀχιλλέα τιν', ἢ Νιόβην, τὸ πρόσωπον οὐχὶ δεικνὺς,
πρόσχημα τῆς τραγῳδίας, γρύζοντας οὐδὲ τουτί·

ΔΙΟΝΤΣΟΣ.

μὰ τὸν Δί', οὐ δῆθ'.

ΕΥΡΙΠΙΔΗΣ.

ὁ δὲ χορός γ' ἤρειδεν ὁρμαθοὺς ἂν
μελῶν ἐφεξῆς τέτταρας ξυνεχῶς ἄν· οἱ δ' ἐσίγων.

ΔΙΟΝΤΣΟΣ.

ἐγὼ δ' ἔχαιρον τῇ σιωπῇ, καί με τοῦτ' ἔτερπεν
οὐχ ἧττον ἢ νῦν οἱ λαλοῦντες.

ΕΥΡΙΠΙΔΗΣ.

ἠλίθιος γὰρ ἦσθα,
σάφ' ἴσθι.

ΔΙΟΝΤΣΟΣ.

κἀμαυτῷ δοκῶ. τί δὲ ταῦτ' ἔδρασ' ὁ δεῖνα;

ΕΥΡΙΠΙΔΗΣ.

ὑπ' ἀλαζονείας, ἵν' ὁ θεατὴς προσδοκῶν καθοῖτο,
ὁπόθ' ἡ Νιόβη τι φθέγξεται· τὸ δρᾶμα δ' ἂν διήει.

---

δή γ' ἕνα τιν' ἐκάθισεν. πρώτιστα μὲν γὰρ ἕνα τινα κάθισεν ACF, Baroccianus. πρώτιστα μὲν ἕνα τινὰ κάθισεν Borgianus. Porsonus πρώτιστα μὲν γὰρ ἕνα γέ τινα καθεῖσεν: recte omnia, nisi quod καθεῖσεν scripsit. Restitui depravatam ubique fere ab librariis aoristi formam, καθῖσεν. Vide Thucydidem Bekkeri vol. II. p. 419, 6. et vol. III. p. 129, 1. (VI, 66. VII, 82.). Elmsleius ad Acharn. 569. et Dobraeus ad Plut. 980. καθῖζεν.

V. 924. γ' omittunt G et Baroccianus. δῆτά γ' — χορὸς ἦρ. F.

V. 927. ἠλίθιος ἆρ' ἦσθα Elmsleius in Edinburgh Review fasc. XXXVII. p. 86.

V. 929. καθῆτο edd. ante Brunckium. καθοῖτο ABCG. Quod Buttmannus κάθοιτο scribit. Vid. eius grammat. vol. I. p. 546.

V. 930. Legebatur φθέγξαιτο δή. φθέγξαιτό τι Vaticanus. τι

ΔΙΟΝΥΣΟΣ.

ὦ παμπόνηρος, οἷ' ἆρ' ἐφενακιζόμην ὑπ' αὐτοῦ.
τί σκορδινῇ καὶ δυσφορεῖς;

ΕΥΡΙΠΙΔΗΣ.

ὅτι αὐτὸν ἐξελέγχω.
κἄπειτ' ἐπειδὴ ταῦτα ληρήσειε καὶ τὸ δρᾶμα
ἤδη μεσοίη, ῥήματ' ἂν βόεια δώδεκ' εἶπεν,
ὀφρῦς ἔχοντα καὶ λόφους, δεινὰ ἄττα μορμορωπά,
ἄγνωτα τοῖς θεωμένοις.

ΑΙΣΧΥΛΟΣ.

οἴμοι τάλας.

ΔΙΟΝΥΣΟΣ.

σιώπα.

ΕΥΡΙΠΙΔΗΣ.

σαφὲς δ' ἂν εἶπεν οὐδὲ ἓν,

ΔΙΟΝΥΣΟΣ.

μὴ πρῖε τοὺς ὀδόντας.

---

φθέγξαιτο F et Baroccianus, sed αι F ex em.. Quum ex Ravennate libro φθέγξεται enotatum sit, edidi τι φθέγξεται.

V. 931. Scribebatur ὦ. ὦ scholiastes et G in scholio. Duplex accentus in F.

V. 932. ὅτ' edd. ante Brunckium. Correctum ex ABCDFG, Barocciano.

V. 934. Suidas v. βόεια.

V. 935. δεινάττα A. δεινὰ ἄττα edd. veteres.

V. 936. Scribebatur ἀγνῶτα. Correctum ex Herodiano apud scholiasten, Suida v. ἀγνῶτα, Philemone Lex. p. 3. ed. Burn.. Vid. Lobeck. ad Sophocl. Aiac. p. 274..

V. 937. οὐδὲ ἕν. Quum trisyllaba forma, quae mediae et novae comoediae propria est, in Pluto demum fabula usus sit Aristophanes, non improbabilis Porsoni coniectura est praefatione ad Eurip. p. XXXVII. οὐδ' ἂν ἕν scribentis. οὐδὲν Barocciamus.

ΕΥΡΙΠΙΔΗΣ.

ἀλλ' ἢ Σκαμάνδρους, ἢ τάφρους, ἢ 'π' ἀσπίδων ἐπόντας
χρυσαιέτους χαλκηλάτους, καὶ ῥήμαθ' ἱππόκρημνα,
ἃ ξυμβαλεῖν οὐ ῥᾴδιον.

ΔΙΟΝΤΣΟΣ.

νὴ τοὺς θεούς, ἔγωγ' οὖν
ἤδη ποτ' ἐν μακρῷ χρόνῳ νυκτὸς διηγρύπνησα,
τὸν ξουθὸν ἱππαλεκτρυόνα ζητῶν, τίς ἐστιν ὄρνις.

ΑΙΣΧΥΛΟΣ.

σημεῖον ἐν ταῖς ναυσίν, ὦμαθέστατ', ἐνεγέγραπτο.

ΔΙΟΝΤΣΟΣ.

ἐγὼ δὲ τὸν Φιλοξένου γ' ᾤμην Ἔρυξιν εἶναι.

ΕΥΡΙΠΙΔΗΣ.

εἶτ' ἐν τραγῳδίαις ἐχρῆν ἀλεκτρυόνα ποιῆσαι;

ΑΙΣΧΥΛΟΣ.

σὺ δ' ὦ θεοῖσιν ἐχθρέ, ποῖ' ἄττ' ἐστὶν, ἅττ' ἐποίεις;

ΕΥΡΙΠΙΔΗΣ.

οὐχ ἱππαλεκτρυόνας γε μὰ Δί', οὐ τραγελάφους, ἅπερ σύ,

---

V. 940. Legebatur ῥᾴδιον ἦν. ἦν recte eiecerunt Bentleius, Elmsleius in Edinburgh Review fasc. XXXVII. p. 85. et Reisigius I. p. 99. . ῥᾴδι' ἦν Porsonus, quemadmodum in Vaticano libro scriptum est. καὶ, ῥάδια L.

V. 942. ἱππαλεκτρύω Porsonus.

V. 943. Nihil plane caussae erat cur Marklandus ad Eurip. Suppl. v. 109. orationem aliter conformaret, σημεῖον, οὖν ταῖς ναυσιν — ἐνεγέγραπτο. Persuasit tamen Brunckio.

V. 946. ποῖά γ' ἐστὶν AF, Ravennas, Vaticanus, Barocci-anus, Brunckius.

V. 947. Legebatur, οὐχ ἱππαλεκτρυόνας μὰ Δί', οὐδὲ τραγε-λάφους — . οὐχ ἱππαλεκτρυόνας γε μὰ Δί', οὐ τραγελάφους Porsonus in Miscellaneis a Kiddio editis p. 195. . οὐχ ἱππα-

ἂν τοῖσι παραπετάσμασιν τοῖς Μηδικοῖς γράφουσιν·
ἀλλ' ὡς παρέλαβον τὴν τέχνην παρὰ σοῦ τὸ πρῶτον εὐθὺς
οἰδοῦσαν ὑπὸ κομπασμάτων καὶ ῥημάτων ἐπαχθῶν,
ἴσχναν μὲν πρώτιστον αὐτὴν καὶ τὸ βάρος ἀφεῖλον
ἐπυλλίοις καὶ περιπάτοις καὶ τευτλίοισι λευκοῖς,
χυλὸν διδοὺς στωμυλμάτων, ἀπὸ βιβλίων ἀπηθῶν·
εἶτ' ἀνέτρεφον μονῳδίαις, Κηφισοφῶντα μιγνύς·
εἶτ' οὐκ ἐλήρουν ὅ τι τύχοιμ', οὐδ' ἐμπεσὼν ἔφυρον,
ἀλλ' ὀξιὼν πρώτιστα μέν μοι τὸ γένος εἶπεν εὐθὺς
τοῦ δράματος.

---

λεκτρυόνας μὰ Δία καὶ τραγελάφους Elmsleius in Edinburgh Review fasc. XXXVII. p. 85.. Recepi Porsoni emendationem. γε eiectum videtur ex quo οὐδὲ scribi coepit. οὐ τραγελάφους liber Baroccianus. — ἅπερ σὺ ex hoc loco Suidas.

V. 948. τοῖς π. Baroccianus.

V. 949. ὥσπερ ἔλ. Vaticanus. — Edd. ante Brunckium τοπρῶτον μὲν εὐθὺς. Correxerunt Brunckius et Porsonus. ἀλλ' ὡς παρέλαβον παρὰ σοῦ τὴν τέχνην εὐθὺς Ravennas, Baroccianus. τὴν τέχνην πρῶτον μὲν εὐθὺς B. παρὰ σοῦ πρῶτον εὐθὺς AC. παρὰ σοῦ πρῶτον εὐθὺς F. παρὰ σοῦ πρῶτον μὲν εὐθὺς DG, Vaticanus.

V. 950. Suidas v. οἰδοῦσαν.

V. 951. ἴσχανα F et Suidas v. ἴσχανα. ἴσχνανα Suidae codex Oxoniensis v. πτισσάνη.

V. 952. Legebatur μικροῖς. λευκοῖς repositum ex Ravennate, Vaticano, Baroccianо, Borgiano, Suida v. ἴσχανα. „Scholiastes, μικροῖς. γράφεται λευκοῖς. Scholiastes in FG, εἰώθασιν οἱ τῶν ἰατρῶν παῖδες τὰς τῶν σωμάτων καθάρσεις διὰ περιπάτων καὶ τευτλων λευκῶν καὶ ἑτέρων ποτῶν ποιεῖσθαι. τὸ δὲ ἐπυλλίοις ἀντὶ τοῦ λογίοις μικροῖς. Dobraeus: „In F gl. μικροῖς supra ἐπυλλίοις, unde statim apparet origo lectionis τευτλίοισι μικροῖς, glossa scilicet μικροῖς indicans τευτλίοις diminutivum esse."

V. 953. ἀπ' ἠθῶν edd. ante Brunckium et Suidas v. πτισσάνη. ἀπηθῶν CDG, Ravennas, Borgianus, tueturque grammaticorum auctoritas, Etymolog. M. p. 422, 37. et Eustathii p. 1753, 5..

V. 956. εἶπ' ἂν εὐθὺς Ravennas.

ΑΙΣΧΥΛΟΣ.

κρεῖττον γὰρ ἦν σοι νὴ Δί' ἢ τὸ σαυτοῦ.

ΕΥΡΙΠΙΔΗΣ.

ἔπειτ' ἀπὸ τῶν πρώτων ἐπῶν οὐδὲν παρῆκ' ἂν ἀργόν,
ἀλλ' ἔλεγεν ἡ γυνή τέ μοι χὠ δοῦλος οὐδὲν ἧττον,
χὠ δεσπότης, χἠ παρθένος, χἡ γραῦς ἄν.

ΑΙΣΧΥΛΟΣ.

εἶτα δῆτα
οὐκ ἀποθανεῖν σε ταῦτ' ἐχρῆν τολμῶντα;

ΕΥΡΙΠΙΔΗΣ.

μὰ τὸν Ἀπόλλω
δημοκρατικὸν γὰρ αὖτ' ἔδρων.

ΔΙΟΝΥΣΟΣ.

τοῦτο μὲν ἔασον ὥ τᾶν.
οὐ σοὶ γάρ ἐστι περίπατος κάλλιστα περί γε τούτου.

ΕΥΡΙΠΙΔΗΣ.

ἔπειτα τουτουσὶ λαλεῖν ἐδίδαξα,

ΑΙΣΧΥΛΟΣ.

φημὶ κἀγώ.
ὡς πρὶν διδάξαι γ' ὤφελες μέσος διαῤῥαγῆναι.

---

V. 957. κρεῖττον — σαυτοῦ. Dionyso haec tribuit Brunckius codicem B secutus.

V. 959. ἔλεγον Baroccianus.

V. 961. ταῦτα χρῆν edd. ante Brunckium. Correctum ex DF, Monacensi. οὐκ ἀποθανεῖν σε δεῖ ταῦτα (τοιαῦτα A) τολμῶντα AC. οὐκ ἀποθανεῖν σε χρῆν ταῦτα τολμῶντα B.

V. 962. τουτὶ edd. ante Brunckium. τοῦτο ABDF, Baroccianus. τοῦτο μὲν οὖν C.

V. 963. οὐ σοὶ] γρ. καὶ ἐμοὶ L.

V. 964. ἔδειξα τουτοισὶ λεπτῶν κανόνων εἰςβολὰς ἐπῶν τε γωνιασμούς Suidas v. γωνία. τουτουσὶ ἔδειξα codex Oxoniensis.

ΕΥΡΙΠΙΔΗΣ.

λεπτῶν τε κανόνων εἰσβολὰς, ἐπῶν τε γωνιασμοὺς,
νοεῖν, ὁρᾶν, ξυνιέναι, στρέφειν, ἐρᾶν, τεχνάζειν,
κἀχ' ὑποτοπεῖσθαι, μερινοεῖν ἅπαντα, . . .

ΑΙΣΧΥΛΟΣ.

φημὶ κἀγώ.

ΕΥΡΙΠΙΔΗΣ.

οἰκεῖα πράγματ' εἰσάγων, οἷς χρώμεθ', οἷς ξύνεσμεν,
ἐξ ὧν γ' ἂν ἐξηλέγχόμην· ξυνειδότες γὰρ οὗτοι
ἤλεγχον ἄνομου τὴν τέχνην· ἀλλ' οὐκ ἐκομπολάκουν
ἀπὸ τοῦ φρονεῖν ἀποσπάσας, οὐδ' ἐξέπληττον αὐτοὺς,
Κύκνους ποιῶν καὶ Μέμνονας κωδωνοφαλαροπώλους.
γνώσει δὲ τοὺς τούτου τε κἀμοῦ γ' ἑκατέρου μαθητάς.
τουτουμενὶ Φορμίσιος Μεγαίνετός θ' ὁ Μάγνης,
σαλπιγγολογχυπηνάδαι, σαρκασμοπιτυοκάμπται,
ὑμὸς δὲ Κλειτοφῶν τε καὶ Θηραμένης ὁ κομψός.

---

V. 966. Harpocratio v. *γωνιασμάς*. *γωνιασμός* ex h. l. affert Hesychius. — *εἰσβολὰς* pro *ἐσβολὰς* repositum ex libro Barocciano et Suida. *ἐσβολὰς* Harpocratio.

V. 968. *καχυποτοπεῖσθαι* edd. ante Brunckium et Suidas h. v. et *καχύποπτος* ex Aristophane consignavit Pollux II, 57. . Divisim scriptum in BDEF, Ravennate *κἀθ' ὑποτοπεῖσθαι* AC, ex quo Brunckius in annotatione *καθυποτοπεῖσθαι* facit, quod verbum Etymolog. M. p. 762, 15. ex hoc fortasse loco petitum habet. *εἶθ' ὑποτοπεῖσθαι* liber Baroccianus.

V. 974. 975. Suidas v. *γνώσῃ* et v. *Μεγαίνετος*.

V. 974. Male Brunckius ex ABC *ἑκατ[illegible]ους*. *ἑκατέρων* Borgianus.

V. 975. Legebatur *τούτου μὲν οὖν Φορμίσιος*. *τούτων μὲν ὁ Φορμίσιος* BDG, Florentini quattuor. *τούτου μὲν Φορμίσιος* AC, Baroccianus, Florentini duo et Suidas utroque loco. *τούτου μὲν γὰρ Φ.* Florentinus unus. *τούτου μὲν ἰφορμίσιος* codex Venetus. Recte Ravennas *τουτουμενὶ Φορμίσιος*. — *Μάγνης* A. Legebatur *Μάνης*, non dissentiente Suida.

V. 977. Legebatur *οὑμοὶ*. *οὑμὸς* liber Ravennas et Suidas v. *κομψόν*. *ἐμοὶ* C et Borgianus.

[illegible] ἐς τὰ πάντα,
[illegible] πλησίον παραστῇ,
[illegible] Λῶς, ἀλλὰ Κεῖος.

[illegible]ΗΣ.

[illegible] φρονεῖν
[illegible] μην,
[illegible] τῇ τέχνῃ
[illegible] ἤδη νοεῖν
[illegible] διειδέναι
[illegible] καὶ τὰς οἰκίας
[illegible] ον ἢ πρὸ τοῦ,
[illegible] Πῶς τοῦτ' ἔχει;
[illegible] τοδί; Τίς τοῦτ' ἔλαβε;

ΔΙΟΝΥΣΟΣ.

[illegible] τοὺς θεοὺς, νῦν γοῦν Ἀθη-
[illegible] ἅπας τις εἰςιὼν
[illegible] κραγε πρὸς τοὺς οἰκέτας
[illegible] τεῖ τε Ποῦ 'στιν ἡ χύτρα;
Τίς τὴν κεφαλὴν ἀπεδήδοκεν
τῆς μαινίδος; Τὸ τρυβλίον

---

[illegible] εἰς edd. ante Brunckium. ἐς ex libro Barocciano eno-[illegible]

[illegible] 980. Legebatur Κῖος. Κεῖος repositum ex Eustathio p. 1397, [illegible] p. 1462, 45. De sensu horum verborum vid. Heindorf. [illegible] Platonis Protag. p. 577. . Κῷος Aristarchus apud scholiasten. [illegible] quoque lectionem commemorat Eustathius.

V. 981. Scribebatur μέντοι 'γὼ. Scribendum μέντοὐγὼ, ut [illegible]τοὔφασκεν in Ecclesiazusis. τοιαῦτα μέντοι σωφρονεῖν liber Ravennas.

V. 990.–998. Suidas v. αἶκε πάθοι et v. μικροπρεπείας ῥήματα.

V. 995. τρύβλιον edd. ante Brunckium. τρυβλίον F, Suidas, Brunckius.

τὸ περυσινὸν τέθνηκέ μοι·
Ποῦ τὸ σκόροδον τὸ χθιζινόν;
Τίς τῆς ἐλάας παρέτραγεν;
τέως δ' ἀβελτερώτατοι,
κεχηνότες Μαμμάκυθοι,
Μελητίδαι καθῆντο.

ΧΟΡΟΣ.

τάδε μὲν λεύσσεις, φαίδιμ' Ἀχιλλεῦ·
σὺ δὲ τί, φέρε, πρὸς ταῦτα λέξεις; μόνον ὅπως
μή σ' ὁ θυμὸς ἁρπάσας
ἐκτὸς οἴσει τῶν ἐλαῶν·
δεινὰ γὰρ κατηγόρηκεν.
ἀλλ' ὅπως, ὦ γεννάδα,
μὴ πρὸς ὀργὴν ἀντιλέξεις,

---

V. 997. Edd. ante Brunckium et Suidas, *ποῦ τὸ σκόροδον τὸ χθεσινόν. ποῦ τὸ σκόροδόν μοι τὸ χθεσινόν* BDG. Recte Lobeckius ad Phrynich. p. 323. *ποῦ τὸ σκόροδον τὸ χθιζινόν.*

V. 998. *τὰς* Suidas v. *αἶκε.* — Libri aliquot *ἐλαίας. τῆς ἐλάας* ex hoc loco affert Eustathius p. 84, 9.

V. 999. *δ'* excidit in libris Ravennate et Borgiono. — Legebatur *ἀβελτερώτεροι. ἀβελτερώτατοι* E, Ravennas, Borgianus, Suidas v. *ἀβελτερώτατος*, v. *Βουταλίων* et v. *Μαμμάκουθος.*

V. 1000. Libri aliquot vitiose *μαμμάκουθοι* vel *μαμάκουθοι.*

V. 1001. Legebatur *καὶ M.* . *καὶ* om. ACEF, Ravennas, Vaticanus, Baroccianus, Borgianus, Suidas tribus in locis. — *Μελιτίδαι* libri omnes, quemadmodum etiam apud Lucian. Amor. c. 53. *Μελιτίδης* scriptum est. — Scribebatur *κάθηντο.* Vid. ad v. 929. *κάθηνται* AC, Suidas.

V. 1002. *λεύσεις* ABCD. Exorsus autem hoc versu Aeschylus est Myrmidones fabulam.

V. 1003. Legebatur *σὺ δὴ τί.* Correxit Bentleius. *σὺ δ' εἶτι* F.

V. 1004. 1005. Suidas v. *μή σ' ὁ θυμός.*

V. 1005. Libri aliquot *ἐλαιῶν.* Propter *ἐλαῶν* hoc loco utitur Thomas M. v. *ἐλάα.*

V. 1006. *κατηγόρηκέ σου* Baroccianus.

V. 1008.–1014. Suidas v. *ἱστίον* et v. *λεῖον.*

ἀλλὰ συστείλας, ἄκροισι
χρώμενος τοῖς ἰστίοις,
εἶτα μᾶλλον μᾶλλον ἕξεις,
καὶ φυλάξεις,
ἡνίκ' ἂν τὸ πνεῦμα λεῖον
καὶ καθεστηκὸς λάβῃς.
ἀλλ' ὦ πρῶτος τῶν Ἑλλήνων πυργώσας ῥήματα σεμνὰ
καὶ κοσμήσας τραγικὸν λῆρον, θαῤῥῶν τὸν κροῦνὸν ἀφίει.

ΑΙΣΧΥΛΟΣ.

Θυμοῦμαι μὲν τῇ ξυντυχίᾳ, καί μου τὰ σπλάγχν' ἀγανακτεῖ,
εἰ πρὸς τοῦτον δεῖ μ' ἀντιλέγειν· ἵνα μὴ φάσκῃ δ' ἀπορεῖν με,
ἀπόκριναί μοι, τίνος οὕνεκα χρὴ θαυμάζειν ἄνδρα ποιητήν;

ΕΥΡΙΠΙΔΗΣ.

δεξιότητος καὶ νουθεσίας, ὅτι βελτίους τε ποιοῦμεν
τοὺς ἀνθρώπους ἐν ταῖς πόλεσιν.

ΑΙΣΧΥΛΟΣ.

τοῦτ' οὖν εἰ μὴ πεποίηκας,
ἀλλ' ἐκ χρηστῶν καὶ γενναίων μοχθηροτάτους ἀπέδειξας,
τί παθεῖν φήσεις ἄξιος εἶναι;

ΔΙΟΝΥΣΟΣ.

τεθνάναι· μὴ τοῦτον ἐρώτα.

---

V. 1010. Scribebatur *ἰστίοισιν*. Correctum ex Suida et scholiaste.

V. 1011. *μᾶλλον* semel scriptum in C et Suida *v. λεῖον*. — *εἴξεις* Seidlerus. Libri et Suidas *ἄξεις*.

V. 1013. 1014. Philostratum Vit. Soph. II. 1. p. 564. *τὸ μὲν πνεῦμα οὐ σφοδρὸν, ἀλλὰ λεῖον καὶ καθεστηκός* comparavit Lobeck. ad Soph. Aiac. p. 320.

V. 1015. Scholiastes ad Pacem 748.

V. 1018. *εἰ πρὸς αὐτὸν* Ravennas, Borgianus.

V. 1019. *δεῖ* pro *χρὴ* E, Ravennas, Baroccianus. *χρὴ* Sextus Empir. Pyrrhon. Hypotypos. I. 189.

ΑΙΣΧΥΛΟΣ.

σκέψαι τοίνυν, οἵους αὐτοὺς παρ' ἐμοῦ παρεδέξατο πρῶτον,
εἰ γενναίους καὶ τετραπήχεις, καὶ μὴ διαδρασιπολίτας,
μηδ' ἀγοραίους, μηδὲ κοβάλους, ὥςπερ νῦν, μηδὲ πανούργους,
ἀλλὰ πνέοντας δόρυ καὶ λόγχας, καὶ λευκολόφους τρυφαλείας,
καὶ πήληκας, καὶ κνημῖδας, καὶ θυμοὺς ἑπταβοείους.

ΔΙΟΝΥΣΟΣ.

καὶ δὴ χωρεῖ τουτὶ τὸ κακόν· κρανοποιῶν αὖ μ' ἐπιτρίψει.

ΕΥΡΙΠΙΔΗΣ.

καὶ τί σὺ δράσας οὕτως αὐτοὺς γενναίους ἐξεδίδαξας;

ΔΙΟΝΥΣΟΣ.

Αἰσχύλε λέξον, μηδ' αὐθαδῶς σεμνυνόμενος χαλέπαινε.

ΑΙΣΧΥΛΟΣ.

δρᾶμα ποιήσας Ἄρεως μεστόν.

---

V. 1024. *τοίνυν γ' οἵους* edd. ante Brunckium. *γ'* om. ACD, Baroccianus, Monacensis.

V. 1025. Phrynichus in Bekkeri Anecdotis p. 34, 20. *διαδρησιπολίτης: ὁ διαδιδράσκων τὰς τῆς πόλεως ὑπουργίας καὶ μὴ βουλόμενος ἐν τοῖς ἀναγκαίοις καιροῖς παρεῖναι τῇ πατρίδι.*

V. 1026. Legebatur *μήτ' ἀγοραίους μήτε κοβάλους*. Correctum ex libris Ravennate et Barocciano.

Versus 1029. primam partem Euripidi, alteram Dionyso tribuunt edd. ante Brunckium et liber Ravennas: totum Dionyso A, Euripidi F. et v. 1030. 1031. Dionyso F., 1029. 1030. Euripidi E. — *γὰρ* pro *αὖ* F et Baroccianus.

V. 1030. Ita liber Ravennas. Edd. ante Brunckium *καὶ σὺ τί δὴ δράσας. καὶ σὺ τί δράσας* CEF, Vaticanus, Baroccianus, Borgianus. Brunckius, *σὺ τί δὴ δράσας.* — *οὕτως αὐτοὺς* E, Ravennas, Vaticanus, Baroccianus, Borgianus. Legebatur *αὐτοὺς οὕτως.* — Edd. ante Brunckium *ἀνδρείους. γενναίους* E, Ravennas, Vaticanus, Baroccianus. — *ἐδίδαξας* edd. ante Brunckium. *ἐξεδίδαξας* CEF, Ravennas, Vaticanus, Baroccianus, Borgianus.

V. 1032. Scribebatur *Ἄρεος*. In Avibus 339. Brunckianum

ΔΙΟΝΥΣΟΣ.

ποῖον;

ΑΙΣΧΥΛΟΣ.

τοὺς ἕπτ' ἐπὶ Θήβας·
ὃ θεασάμενος πᾶς ἄν τις ἀνὴρ ἠράσθη δάϊος εἶναι.

ΔΙΟΝΥΣΟΣ.

τουτὶ μέν σοι κακὸν εἴργασται· Θηβαίους γὰρ πεποίηκας
ἀνδρειοτέρους εἰς τὸν πόλεμον· καὶ τούτου γ' οὕνεκα τύπτου.

ΑΙΣΧΥΛΟΣ.

ἀλλ' ὑμῖν αὖτ' ἐξῆν ἀσκεῖν, ἀλλ' οὐκ ἐπὶ τοῦτ' ἐτράπεσθε.
εἶτα διδάξας Πέρσας μετὰ τοῦτ' ἐπιθυμεῖν ἐξεδίδαξα
νικᾶν ἀεὶ τοὺς ἀντιπάλους, κοσμήσας ἔργον ἄριστον.

ΔΙΟΝΥΣΟΣ.

ἐχάρην γοῦν, ἡνίκ' ἀπηγγέλθη περὶ Δαρείου τεθνεῶτος,

---

Ἄρεος me invito relictum est. — ποῖον; edd. ante Brunckium Euripidi tribuunt. Correxit Brunckius ex BCD.

V. 1034. τουτὶ μέντοι Reisigius I. p. 300. .

V. 1036. τοῦτο τράπεσθαι Ravennas. τοῦτ' ἐτρέπεσθε Elbingensis et Monacensis.

V. 1037. Legebatur τοὺς Πέρσας. Articulum om. F et Baroccianus. — ταῦτ' in duobus se libris reperisse ait Brunckius, qui ex coniectura dedit κατὰ ταῦτ'. ταῦτα etiam Monacensis et Elbingensis. Male; vid. Reisig. I. p. 224. . — Libri omnes ἐδίδαξα. ἐξεδίδαξα Bentleius, Porsonus praefat. ad Hecub. p. LV. .

V. 1038. Scribebatur αἰεὶ. ἀεὶ BCDEF, Baroccianus, Iuntina tertia.

V. 1039. Legebatur ἡνίκ' ἤκουσα. Ravennas et Borgianus ἡνίκα ἤκουσα. ἡνίκ' ἀπηγγέλθη C et margo libri Florentini unius. Scholiastes, ἐχάρην γοῦν ἡνίκ' ἤκουσα. ἐν τοῖς φερομένοις αἰσχύλου πέρσαις οὔτε δαρείου θάνατος ἀπαγγέλλεται (ἐπαγγέλλεται Florentinus unus) οὔτε ὁ χορὸς τὰς χεῖρας συγκρούσας λέγει ἰαυοῖ, ὅ ἐστιν ἐπιφώνημα πρὸς τὸν διόνυσον λεγόμενον χαρᾶς ἐπελθούσης. Quod dicit ἀπαγγέλλεται, etsi satis probabile fit ad illam spectare scripturam, ἀπηγγέλθη, tamen ita compara-

ὁ χορὸς δ' εὐθὺς τῷ χεῖρ' ὠδὶ ξυγκρούσας εἶπεν ἰαυοῖ.

ΑΙΣΧΥΛΟΣ.

ταῦτα γὰρ ἄνδρας χρὴ ποιητὰς ἀσκεῖν. σκέψαι γὰρ ἀπ' ἀρχῆς,
ὡς ὠφέλιμοι πῶν ποιητῶν οἱ γενναῖοι γεγένηνται.
Ὀρφεὺς μὲν γὰρ τελετάς θ' ἡμῖν κατέδειξε φόνων τ' ἀπέχεσθαι·
Μουσαῖος δ' ἐξακέσεις τε νόσων καὶ χρησμούς· Ἡσίοδος δὲ
γῆς ἐργασίας, καρπῶν ὥρας, ἀρότους· ὁ δὲ θεῖος Ὅμηρος
ἀπὸ τοῦ τιμὴν καὶ κλέος ἔσχεν πλὴν τοῦδ' ὅτι χρήστ' ἐδίδαξε,
τάξεις, ἀρετάς, ὁπλίσεις ἀνδρῶν;

ΔΙΟΝΥΣΟΣ.

καὶ μὴν οὐ Παντακλέα γε
ἐδίδαξεν ὅμως τὸν σκαιότατον· πρώην γοῦν, ἡνίκ' ἔπεμπεν,
τὸ κράνος πρῶτον περιδησάμενος τὸν λόφον ἤμελλ' ἐπιδήσειν.

ΑΙΣΧΥΛΟΣ.

ἀλλ' ἄλλους τοι πολλοὺς ἀγαθούς, ὧν ἦν καὶ Λάμαχος ἥρως·

---

tum est ut ei nec defendendae nec reprobandae adhiberi possit. Hoc satis apertum est, ἤκουσα alius verbi interpretationem esse. — Edd. ante Brunckium τοῦ τεθνεώτος. Articulum om. ABCDEFG, Ravennas, Baroccianus, Florentini octo, Borgianus.

V. 1040. συγκρούσας Baroccianus.

V. 1041. Liber Baroccianus χρὴ ποιητὰς ἄνδρας ἀσκεῖν, omisso γὰρ. Brunckius ταῦτά γ' ἄρ'.

V. 1046. τιμὴν ἔσχε καὶ κλέος ABCDG, Venetus, Elbingensis, Monacensis. — τοῦδ' Bentleius. Legebatur τοῦδ'.

V. 1047. καὶ μὴν et sequentia Euripidi tribuunt FG, Baroccianus.

V. 1050. ἀλλ' ἄλλους γε πολλοὺς Ravennas. — κἀγαθούς F, Ravennas, Baroccianus.

ὅθεν ἥμὴ φρὴν ἀπομαξαμένη πολλὰς ἀρετὰς ἐποίησε,
Πατρόκλων, Τεύκρων θυμολεόντων, ἵν' ἐπαίροιμ' ἄνδρα πολίτην
ἀντεκτείνειν αὐτὸν τούτοις, ὁπόταν σάλπιγγος ἀκούσῃ.
ἀλλ' οὐ μὰ Δί' οὐ Φαίδρας ἐποίουν πόρνας οὐδὲ Σθενεβοίας,
οὐδ' οἶδ' οὐδεὶς ἥντιν' ἐρῶσαν πώποτ' ἐποίησα γυναῖκα.

ΕΥΡΙΠΙΔΗΣ.

μὰ Δί', οὐδὲ γὰρ ἦν τῆς Ἀφροδίτης οὐδέν σοι.

ΑΙΣΧΥΛΟΣ.

μηδέ γ' ἐπείη.
ἀλλ' ἐπὶ σοί τοι καὶ τοῖς σοῖσιν πολλὴ πολλοῦ 'πικαθῆτο,
ὥστε γε καὐτόν σε κατ' οὖν ἔβαλεν.

ΔΙΟΝΥΣΟΣ.

νὴ τὸν Δία τοῦτό γέ τοι δή.

---

V. 1051. πολλάκις Ravennas.

V. 1052. Ridiculo errore Portus, Kusterus, Brunckius *Τεύκρων, Θυμολεόντων* ediderunt.

V. 1055. Ita Porsonus ad Hecubam 782. Edd. ante Brunckium, οὐδ' οἶδ' εἰς ἦν τιν' ἂν ἐρῶσαν πώποτ'. ἂν omittit Barocc., inter ἐποίησ' et γυναῖκα collocat F. οὐδ' οἶδ' εἰς ἦν τιν' ἐρῶσαν ἐγὼ πώποτ' AC, Vaticanus, Brunckius. Ravennas οὐδ' οἶδ' οὐδ' εἰς ἦν τιν' ἐρῶσαν.

V. 1056. οὐδὲ γὰρ ἦν Ravennas. Legebatur οὐ γὰρ ἐπῆν. οὐδὲ γὰρ etiam ex F et Barocciano enotatum. — μηδέν σοι Barocc.

V. 1057. Legebatur πολλοῦ 'πικαθοῖτο. σοῖς πολλὴ πολλῶ 'πικαθῆτο Barocc. τοῖς σοῖσι πολλὴ πολλῶ 'πικαθοῖτο Florentinus unus, sed πολλῷ ex correctione. πολλοῦ πολλὴ F. σοῖς πολλὴ πολλοῦ γ' ἐπικαθῆτο G et Florentini quattuor, nisi quod in uno ἐπικαθοῖτο.

V. 1058. ὥστε κ. Barocc. — Edd. ante Brunckium κάτω 'νίβαλεν. κατ' οὖν ἔβαλεν AL, Vaticanus. κάτ' οὖν ἔβ. Barocc. κατουνάβαλεν C.

ἃ γὰρ ἐς τὰς ἀλλοτρίας ἐποίεις, αὐτὸς τούτοισιν ἐκλήγης.

ΕΥΡΙΠΙΔΗΣ.

καὶ τί βλάπτουσ', ὦ σχέτλι' ἀνδρῶν, τὴν πόλιν ἃ μαὶ Σθενέβοιαι;

ΑΙΣΧΥΛΟΣ.

ὅτι γενναίας καὶ γενναίων ἀνδρῶν ἀλόχους ἀνέπεισας κώνεια πιεῖν, αἰσχυνθείσας διὰ τοὺς σοὺς Βελλεροφόντας.

ΕΥΡΙΠΙΔΗΣ.

πότερον δ' οὐκ ὄντα λόγον τοῦτον περὶ τῆς Φαίδρας ξυνέθηκα;

ΑΙΣΧΥΛΟΣ.

μὰ Δί' ἀλλ' ὄντ'· ἀλλ' ἀποκρύπτειν χρὴ τὸ πονηρὸν τόν γε ποιητήν,
καὶ μὴ παράγειν μηδὲ διδάσκειν. τοῖς μὲν γὰρ παιδαρίοισιν
ἔστι διδάσκαλος ὅστις φράζει, τοῖς ἡβῶσιν δὲ ποιηταί.
πάνυ δὴ δεῖ χρηστὰ λέγειν ἡμᾶς.

ΕΥΡΙΠΙΔΗΣ.

ἦν οὖν σὺ λέγῃς Λυκαβηττοὺς

---

V. 1060. Scribebatur αἰ 'μαί. Correxit Elmsleius praefatione ad Sophocl. Oed. Tyr. p. 9. .

V. 1061. Edd. ante Brunckium ὅτι γενναίους. Correctum ex ABCDF, Ravennate, Vaticano, Barocciano, Borgiano, Monacensi.

V. 1062. πίνειν edd. ante Brunckium. Correctum ex A, Vaticano.

V. 1065. Legebatur τοῖς δ' ἠβῶσι ποιηταί. Correxerunt Bentleius et Porsonus. Brunckius, τοῖς δ' ἡβῶσίν γε ποιηταί.

V. 1067. πάνυ δὲ F, Barocciamus. — Scribebatur Λυκαβηττοὺς simplici τ ut apud Suidam, qui hoc loco utitur v. Λυκαβητός. Duplex dedi ex codice G. Λυκαβάττους Ravennas.

καὶ Παρνασσῶν ἡμῖν μεγέθη, τοῦθ' ἑστὶ τὸ χρηστὰ διδάσκειν,
ὃν χρὴ φράζειν ἀνθρωπείως;

ΑΙΣΧΥΛΟΣ.

ἀλλ' ὦ κακόδαιμον, ἀνάγκη
μεγάλων γνωμῶν καὶ διανοιῶν ἴσα καὶ τὰ ῥήματα τίκτειν.
κἄλλως εἰκὸς τοὺς ἡμιθέους τοῖς ῥήμασι μείζοσι χρῆσθαι·
καὶ γὰρ τοῖς ἱματίοις ἡμῶν χρῶνται πολὺ σεμνοτέροισιν.
ἅμοῦ χρηστῶς καταδείξαντος διελυμήνω σύ.

ΕΥΡΙΠΙΔΗΣ.

τί δράσας;

ΑΙΣΧΥΛΟΣ.

πρῶτον μὲν τοὺς βασιλεύοντας ῥάκι' ἀμπίσχων, ἵν' ἐλεινοὶ
τοῖς ἀνθρώποις φαίνοιντ' εἶναι.

ΕΥΡΙΠΙΔΗΣ.

τοῦτ' οὖν ἔβλαψα τί δράσας;

---

V. 1068. *Παρνήθων* Bentleius et Porsonus. Aristophanis de prioribus Nubibus fragmentum apud Photium Lex. v. *Πάρνης*, *ἐς τὴν Πάρνηθ' ὀργισθεῖσαι φροῦδαι κατὰ τὸν Λυκαβηττόν*, comparat Porsonus.

V. 1069. *ἀνθρωπίνως* Suidas h. v. in libris editis, *ἀνθρωπίως* in Oxoniensi. *ἄνεια* Baroccianus.

V. 1070. Legebatur *τά γε ῥήματα*. Abest *γε* ab libris scriptis tantum non omnibus.

V. 1071. *ἄλλωστ' εἰκὸς* Barroccianus. — *χρῆσθαι μείζοσι* Baroccianus.

V. 1073. *καταδιδάξαντος* Baroccianus.

V. 1074. Edd. ante Brunckium *ἐλεεινοί*.

V. 1075. Quod legebatur olim *φαίνωντ'* correxit Brunckius. *φαίνονται εἶναι* AB. *φαίνωνται εἶναι* C. — Ineptissimam interpunctionem editionum omnium, *τοῦτ' οὖν ἔβλαψα; τί δράσας;* solus correxit Reiskius.

ΑΙΣΧΥΛΟΣ.

οὔκουν ἐθέλει γε τριηραρχεῖν πλουτῶν οὐδεὶς διὰ ταῦτα,
ἀλλ' ἐν ῥακίοις περιειλόμενος κλάει, καὶ φησὶ πένεσθαι.

ΔΙΟΝΥΣΟΣ.

νὴ τὴν Δήμητρα, χιτῶνά γ' ἔχων οὖλων ἐρίων ὑπένερθε·
κἂν ταῦτα λέγων ἐξαπατήσῃ, παρὰ τοὺς ἰχθῦς ἀνέκυψεν.

ΑΙΣΧΥΛΟΣ.

εἶτ' αὖ λαλιὰν ἐπιτηδεῦσαι καὶ στωμυλίαν ἐδίδαξας,
ἢ 'ξεκένωσεν τάς τε παλαίστρας καὶ τὰς πυγὰς ἐνέτριψε
τῶν μειρακίων στωμυλλομένων, καὶ τοὺς παράλους ἀνέπεισεν
ἀνταγορεύειν τοῖς ἄρχουσιν. καίτοι τότε γ', ἡνίκ' ἐγὼ 'ζων,
οὐκ ἠπίσταντ' ἀλλ' ἢ μᾶζαν καλέσαι καὶ ῥυπαπαῖ εἰπεῖν.

ΔΙΟΝΥΣΟΣ.

νὴ τὸν Ἀπόλλω, καὶ προσπαρδεῖν γ' ἐς τὸ στόμα τῷ θαλάμακι,
καὶ μινθῶσαι τὸν ξύσσιτον, κἀκβὰς τινὰ λωποδυτῆσαι·
νῦν δ' ἀντιλέγειν, κοὐκέτ' ἐλαύνειν,
καὶ πλεῖν δεῦρὶ, καὖθις ἐκεῖσε.

---

V. 1076. γε om. Baroccianus.

V. 1078. 1079. Suidas v. χιτών.

V. 1079. περὶ codex Vaticanus et Suidas in codice Oxoniensi. — ἐξέκνυψεν Baroccianus.

V. 1083. τόθ' ἡνίκα γ' ἔγωγ' ἔζων Baroccianus. Apud Herodianum Hermanni p. 316., qui haec propter imperfecti formam ἔζων affert, ita scriptum in codice Augustano, καί τοι τότε ἦν ἐγὼ ζῶν.

V. 1084. Scribebatur ῥυπαπαῖ. ῥυπαπαῖ F G, Baroccianus. Scribendum ῥυπαπαῖ.

V. 1085. εἰς Baroccianus.

V. 1087. 1088. Legebatur ἀντιλέγειν — ἐλαύνει — πλεῖ. Correctum ex E F, Barocciano.

V. 1088. Brunckius ἐκεῖσ' αὖ. Mihi credibilius videtur tetrametro usum Aristophanem dixisse,

νῦν δ' ἀντιλέγων κοὐκέτ' ἐλαύνων πλεῖ δευρὶ καὖθις ἐκεῖσε.

ΔΙΣΧΤΗΛΟΣ.

ποίων δ' οὐκ αἴτιός ἐστι κακῶν;
οὐ προαγωγοὺς κατέδειξ' οὗτος,
καὶ τικτούσας ἐν τοῖς ἱεροῖς,
καὶ μιγνυμένας τοῖσιν ἀδελφοῖς,
καὶ φασκούσας οὐ ζῆν τὸ ζῆν;
κἄτ' ἐκ τούτων ἡ πόλις ἡμῶν
ὑπὸ γραμματέων ἀνεμεστώθη,
καὶ βωμολόχων δημοπιθήκων,
ἐξαπατώντων τὸν δῆμον ἀεί·
λαμπάδα δ' οὐδεὶς οἷός τε φέρειν
ὑπ' ἀγυμνασίας ἔτι νυνί.

ΔΙΟΝΥΣΟΣ.

μὰ Δί' οὐ δῆθ', ὥστ' ἐπαφανάνθην
Παναθηναίοισι γελῶν, ὅτε δὴ
βραδὺς ἄνθρωπός τις ἔθει κύψας
λευκὸς, πίων, ὑπολειπόμενος,
καὶ δεινὰ ποιῶν· κᾆθ' οἱ Κεραμῆς
ἐν ταῖσι πύλαις παίουσ' αὐτοῦ
γαστέρα, πλευρὰς, λαγόνας, πυγήν·
ὁ δὲ τυπτόμενος ταῖσι πλατείαις
ὑποπερδόμενος
φυσῶν τὴν λαμπάδ' ἔφευγε.

---

V. 1089. Legebatur, *ποίων δὲ κακῶν οὐκ αἴτιος ἔσθ'*; Correxit Reisigius. Vide Commentar. in Vespas p. 484. Verae scripturae vestigia supersunt in codice F et editionibus Iuntina prima et Brubachiana, *ποίων δὲ κακῶν οὐκ αἴτιός ἐστιν*; Ex libro Barocciano enotatum *ἔσθ' οὑτοσί*.

V. 1095. *ἀνεστομώθη* Vaticanus. Affert hunc et sequentem versum Suidas v. *ἀνεμεστώθη*.

V. 1100. Edd. ante Brunckium *ἀπεφανάνθην*. *ἀπαφανάνθην* Eustathius p. 1387, 2. *ἐπαφανάνθην* Suidas h. v., quanquam ibi ipso Suida invito in comici verbis *ἀπεφανάνθην* editum: sed *ἐπαφ.* codex Oxoniensis.

ΧΟΡΟΣ.

μέγα τὸ πρᾶγμα, πολὺ τὸ νεῖκος, ὡδὶ δ' ὁ πόλεμος ἔρχεται.
χαλεπὸν οὖν ἔργον διαιρεῖν,
ὅταν ὁ μὲν τείνῃ βιαίως,
ὁ δ' ἐπαναστρέφειν δύνηται κἀπερείδεσθαι τορῶς.
ἀλλὰ μὴ 'ν ταὐτῷ καθῆσθον·
εἰσβολαὶ γάρ εἰσι πολλαὶ χἄτεραι σοφισμάτων.
ὅ τι περ οὖν ἔχετον ἐρίζειν,
λέγετον, ἔπιτον, ἀναδέρεσθον,
τά τε παλαιὰ καὶ τὰ καινά,
κἀποκινδυνεύετον λεπτόν τι καὶ σοφὸν λέγειν.
εἰ δὲ τοῦτο καταφοβεῖσθον, μή τις ἀμαθία προσῇ
τοῖς θεωμένοισιν, ὡς τὰ
λεπτὰ μὴ γνῶναι λεγόντοιν,
μηδὲν ὀρρωδεῖτε τοῦθ'· ὡς οὐκ ἔθ' οὕτω ταῦτ' ἔχει.
ἐστρατευμένοι γάρ εἰσι,
βιβλίον τ' ἔχων ἕκαστος μανθάνει τὰ δεξιά·
αἱ φύσεις τ' ἄλλως κράτισται,
νῦν δὲ καὶ παρηκόηνται.
μηδὲν οὖν δείσητον, ἀλλὰ
πάντ' ἐπέξιτον, θεατῶν γ' οὕνεχ', ὡς ὄντων σοφῶν.

ΕΥΡΙΠΙΔΗΣ.

καὶ μὴν ἐπ' αὐτοὺς τοὺς προλόγους σοι τρέψομαι,
ὅπως τὸ πρῶτον τῆς τραγῳδίας μέρος

---

V. 1117. ἀναδέρεσθον Brunckius. ἀναδαίρετον edd. ante Brunckium. ἀναδέρετον ABCDEFG, Baroccianus, Elbingensis, Monacensis.

V. 1123. ὡς οὐκ ἔσθ' οὕτω ταῦτ' ἔχειν Ravennas.

V. 1126. Edd. ante Brunckium δ'. τ' ABCDFG, Ravennas, Elbingensis.

V. 1129. γ' om. Baroccianus.

V. 1130. σόν edd. ante Brunckium. σοι A, Brunckius. Pronomen om. BD, Elbingensis, Monacensis. Fortasse scribendum, καὶ μὴν ἐπ' αὐτοὺς τοὺς προλόγους γε τρέψομαι.

πρώτιστον αὐτοῦ βάσανιῶ τοῦ δεξιοῦ.
ἀσαφὴς γὰρ ἦν ἐν τῇ φράσει τῶν πραγμάτων.

ΔΙΟΝΥΣΟΣ.

καὶ ποῖον αὐτοῦ βασανιεῖς;

ΕΥΡΙΠΙΔΗΣ.

πολλοὺς πάνυ.
πρῶτον δέ μοι τὸν ἐξ Ὀρεστείας λέγε.

ΔΙΟΝΥΣΟΣ.

ἄγε δὴ σιώπα πᾶς ἀνήρ. λέγ' Αἰσχύλε.

ΑΙΣΧΥΛΟΣ.

Ἑρμῆ χθόνιε, πατρῷ' ἐποπτεύων κράτη,
σωτὴρ γενοῦ μοι ξύμμαχός τ' αἰτουμένῳ.
ἥκω γὰρ ἐς γῆν τήνδε καὶ κατέρχομαι.

ΔΙΟΝΥΣΟΣ.

τούτων ἔχεις ψέγειν τι;

ΕΥΡΙΠΙΔΗΣ.

πλεῖν ἢ δώδεκα.

ΔΙΟΝΥΣΟΣ.

ἀλλ' οὐδὲ πάντα ταῦτά γ' ἔστ' ἀλλ' ἢ τρία.

ΕΥΡΙΠΙΔΗΣ.

ἔχει δ' ἕκαστον εἴκοσίν γ' ἁμαρτίας.

---

V. 1135. Ὀρεστίας edd. ante Brunckium. Ὀρεστείας ABDFG, Baroccianus, Elbingensis.

V. 1137.–1139. Initium Choephororum.

V. 1139. εἰς edd. ante Brunckium. ἐς ABCDG, Baroccianus, Elbingensis.

V. 1141. ταῦτα πάντ' ἔστ' Baroccianus. — Brunckius ἄλλ'.

ΔΙΟΝΤΣΟΣ.

Αἰσχύλε, παραινῶ σοι σιωπᾶν· εἰ δὲ μή,
πρὸς τρισὶν ἰαμβείοισι προσοφείλων φανεῖ.

ΑΙΣΧΥΛΟΣ.

ἐγὼ σιωπῶ τῷδ';

ΔΙΟΝΤΣΟΣ.

ἐὰν πείθῃ γ' ἐμοί.

ΕΥΡΙΠΙΔΗΣ.

εὐθὺς γὰρ ἡμάρτηκεν οὐράνιόν γ' ὅσον.

ΑΙΣΧΥΛΟΣ.

ὁρᾷς ὅτι ληρεῖς.

ΔΙΟΝΥΣΟΣ.

ἀλλ' ὀλίγον γέ μοι μέλει.

ΑΙΣΧΥΛΟΣ.

πῶς φῄς μ' ἁμαρτεῖν;

ΕΥΡΙΠΙΔΗΣ.

αὖθις ἐξ ἀρχῆς λέγε.

ΑΙΣΧΥΛΟΣ.

Ἑρμῆ χθόνιε, πατρῷ' ἐποπτεύων κράτη.

ΕΥΡΙΠΙΔΗΣ.

οὔκουν Ὀρέστης τοῦτ' ἐπὶ τῷ τύμβῳ λέγει

---

V. 1143.–1145. Phrynichus in Bekkeri Anecdotis p. 41. .

V. 1144. *ἰαμβείοις* Baroccianus et Phrynichus in codice, ab Bekkero correcto. *ἰαμβίοις* F.

1145. *τῷδέ γ'* edd. ante Brunckium. *τῷδ'* A, Baroccianus, Phrynichus. *τῷδε ἂν πείθῃ* non interposita Dionysi persona C.

V. 1147. *ὁρᾷς ὅτι ληρεῖς.* Euripidi haec continuant B D, Brunckius. Non haec, sed sequentia, *ἀλλ' ὀλίγον γέ μοι μέλει* Euripidi tribuit Vaticanus.

τῷ τοῦ πατρὸς τεθνεῶτος;

ΑΙΣΧΥΛΟΣ.

οὐκ ἄλλως λέγω.

ΕΥΡΙΠΙΔΗΣ.

πότερ' οὖν τὸν Ἑρμῆν, ὡς ὁ πατὴρ ἀπώλετο
αὐτοῦ βιαίως ἐκ γυναικείας χερὸς
δόλοις λαθραίοις, ταῦτ' ἐποπτεύειν ἔφη;

ΔΙΟΝΥΣΟΣ.

οὐ δῆτ' ἐκεῖνον, ἀλλὰ τὸν Ἐριούνιον
Ἑρμῆν χθόνιον προσεῖπε, καδήλου λέγων
ὅτιὴ πατρῷον τοῦτο κέκτηται γέρας.

ΕΥΡΙΠΙΔΗΣ.

ἔτι μεῖζον ἐξήμαρτες ἢ 'γὼ 'μλόμην·
εἰ γὰρ πατρῷον τὸ χθόνιον ἔχει γέρας,

ΔΙΟΝΥΣΟΣ.

οὕτω γ' ἂν εἴη πρὸς πατρὸς τυμβωρύχος.

ΑΙΣΧΥΛΟΣ.

Διόνυσε, πίνεις οἶνον οὐκ ἀνθοσμίαν.

ΔΙΟΝΥΣΟΣ.

λέγ' ἕτερον αὐτῷ· σὺ δ' ἐπικήρει τὸ βλάβος.

ΑΙΣΧΥΛΟΣ.

σωτὴρ γενοῦ μοι ξύμμαχός τ' αἰτουμένῳ.
ἥκω γὰρ ἐς γῆν τήνδε καὶ κατέρχομαι.

---

V. 1152. πότερον οὖν Baroccianus. πότερον τὸν F.
V. 1153. χειρὸς F, Baroccianus.
V. 1158. μᾶλλον Baroccianus. μεῖζον μᾶλλον F.
V. 1160. οὕτως ἂν Baroccianus.
V. 1161. Egotianus v. οἶνος ἀνθοσμίας et Suidas v. ἀνθοσμίας.

ΕΥΡΙΠΙΔΗΣ.

δὶς ταυτὸν ἡμῖν εἶπεν ὁ σοφὸς Αἰσχύλος.

ΔΙΟΝΥΣΟΣ.

πῶς δίς;

ΕΥΡΙΠΙΔΗΣ.

σκόπει τὸ ῥῆμ'· ἐγὼ δέ σοι φράσω.
ἥκω γὰρ ἐς γῆν, φησὶ, καὶ κατέρχομαι·
ἥκω δὲ ταὐτόν ἐστι τῷ κατέρχομαι.

ΔΙΟΝΥΣΟΣ.

νὴ τὸν Δί', ὥσπερ γ' εἴ τις εἴποι γείτονι,
χρῆσον σὺ μάκτραν, εἰ δὲ βούλει, κἀρύδιον.

ΑΙΣΧΥΛΟΣ.

οὐ δῆτα τοῦτό γ', ὦ κατεστωμυλμένε
ἄνθρωπε, ταῦτ' ἔστ', ἀλλ' ἄριστ' ἐπῶν ἔχον.

---

V. 1165.–1170. Gellius XIII. 24.

V. 1166. πῶς δίς; Aeschylo tribuunt AB.

V. 1168. ἥκειν edd. ante Brunckium. Correctum ex Gellio. ἥκειν — κατέρχεσθαι DFG, Baroccianus.

V. 1169. γ' a Gellio omissum eiecit Brunckius et abest ab F. ὥσπερ γ' εἴ τίς γ' A.

V. 1170. χρ. μοι σὺ Baroccianus.

V. 1172. Edd. ante Brunckium ταύτη 'στ', ἀλλ' ἑτέρως ἔχον. Liber Vaticanus ταῦτα 'στ', ἀλλ' ἄριστ' ἐπῶν ἔχει. Baroccianus, ταύτη 'στιν· ἀλλ' ἄριστ' ἐπῶν ἔχον. Scaliger ex libro veteri enotavit, ταύτη 'στ' vel ταῦτ' ἐστ' ἀλλ' ἄριστ' ἐπῶν ἔχ.. Atque ἄριστ' ἐπῶν ἔχον etiam in Elbingensi et Monacensi scriptum. Brunckius, „Dedi e meis, ταῦτ' ἔστ', ἀλλ' ἄριστ' ἐπῶν ἔχον. [Ita plane scriptum in Ravennate, Borgiano et editione Iuntina prima.] Tres habent ἔχον: solus B ἔχει. Tres ταῦτ' bene: solus C ταῦτ' cum glossa ὅπως.“ Dobraeus, „ταύτ' ἔστ' F. ταύτησ' G. primo ταῦ uterque, sed accentus mut. eadem m. ut puto in F. certe in G. tum ἄριστ' ἐπῶν ἔχον FG.“ In Libro Poggiano scriptum ἄνθρωπε ὧδ' ἔστ' ἀλλ' ἄριστ' ἐπῶν ἔχον.

ΔΙΟΝΤΣΟΣ.

πῶς δή; δίδαξον γάρ με καθ' ὅ τι δὴ λέγεις.

ΑΙΣΧΥΛΟΣ.

ἐλθεῖν μὲν ἐς γῆν ἔσθ' ὅτῳ μετῇ πάτρας·
χωρὶς γὰρ ἄλλης ξυμφορᾶς ἐλήλυθε·
φεύγων δ' ἀνὴρ ἥκει τε καὶ κατέρχεται.

ΔΙΟΝΤΣΟΣ.

εὖ νὴ τὸν Ἀπόλλω. τί σὺ λέγεις, Εὐριπίδη;

ΕΥΡΙΠΙΔΗΣ.

οὐ φημὶ τὸν Ὀρέστην κατελθεῖν οἴκαδε·
λάθρᾳ γὰρ ἦλθεν, οὐ πιθὼν τοὺς κυρίους.

ΔΙΟΝΤΣΟΣ.

εὖ νὴ τὸν Ἑρμῆν· ὅ τι λέγεις δ' οὐ μανθάνω.

ΕΥΡΙΠΙΔΗΣ.

πέραινε τοίνυν ἕτερον.

ΔΙΟΝΤΣΟΣ.

ἴθι πέραινε σύ,
Αἰσχύλ', ἀνύσας· σὺ δ' ἐς τὸ κακὸν ἀπόβλεπε.

ΑΙΣΧΥΛΟΣ.

τύμβου δ' ἐπ' ὄχθῳ τῷδε κηρύσσω πατρὶ
πλύειν, ἀκοῦσαι.

ΕΥΡΙΠΙΔΗΣ.

τοῦθ' ἕτερον αὖθις λέγει,

---

V. 1173. Euripidi tribuunt edd. ante Brunckium. — ὅτι σὺ λ. Baroccianus.

V. 1177. σὺ τί Baroccianus.

V. 1179. ἦκεν Vaticanus.

V. 1183. τῷδε Rav[illegible]nas. Legebatur τάδε γε. Particulam om. F, Baroccianus, Bor[illegible]nus.

κλύειν, ἀκοῦσαι, ταὐτὸν ὂν σαφέστατα.

ΔΙΟΝΤΣΟΣ.

τεθνηκόσιν γὰρ ἔλεγεν, ὦ μόχθηρε σύ,
οἷς οὐδὲ τρὶς λέγοντες ἐξικνούμεθα.

ΑΙΣΧΥΛΟΣ.

σὺ δὲ πῶς ἐποίεις τοὺς προλόγους;

ΕΥΡΙΠΙΔΗΣ.

ἐγὼ φράσω·
κἂν που δὶς εἴπω ταὐτόν, ἢ στοιβὴν ἴδῃς
ἐνοῦσαν ἔξω τοῦ λόγου, κατάπτυσον.

ΔΙΟΝΥΣΟΣ.

ἴθι δή, λέγ'· οὐ γάρ μοὐστὶν ἀλλ' ἀκουστέα
τῶν σῶν προλόγων τῆς ὀρθότητος τῶν ἐπῶν.

ΕΥΡΙΠΙΔΗΣ.

ἦν Οἰδίπους τὸ πρῶτον εὐδαίμων ἀνήρ,

ΑΙΣΧΥΛΟΣ.

μὰ τὸν Δί' οὐ δῆτ', ἀλλὰ κακοδαίμων φύσει,
ὅντινά γε, πρὶν φῦναι μέν, ἀ'πόλλων ἔφη

---

V. 1189. 1190. Suidas v. στοιβήν.

V. 1191. Ineptam interpunctionem, οὐ γάρ μοὐστὶν· ἀλλ' — correxit Porsonus. — ἀκουστέον Ravennas, Baroccianus.

V. 1193. Antigonae exordium. — Edd. ante Brunckium εὐτυχής, ut apud scholiasten Aeschyli ad S. c. Th. 781. scriptum. εὐδαίμων F, Vaticanus, Baroccianus. Vide Valckenar. ad Eurip. Phoen. 1591.

V. 1194. νὴ τὸν Δί' Ravennas, Borgianus.

V. 1195. Edd. ante Brunckium πρὶν μὲν ἢ φῦναι. πρὶν ἢ φῦναι μὲν Vaticanus. πρὶν φῦναι μὲν ACEF, Ravennas, Baroccianus, Borgianus. — Ἀπόλλων edd. ante Brunckium. ὠ'πόλλων Vaticanus, Brunckius.

ἀποκτενεῖν τὸν πατέρα, πρὶν καὶ γεγονέναι,
πῶς οὗτος ἦν τὸ πρῶτον εὐδαίμων ἀνήρ;

ΕΥΡΙΠΙΔΗΣ.

εἶτ' ἐγένετ' αὖθις ἀθλιώτατος βροτῶν.

ΑΙΣΧΥΛΟΣ.

μὰ τὸν Δί' οὐ δῆτ', οὐμενοῦν ἐπαύσατο.
πῶς γάρ; ὅτε δὴ πρῶτον μὲν αὐτὸν γενόμενον,
χειμῶνος ὄντος, ἐξέθεσαν ἐν ὀστράκῳ,
ἵνα μὴ 'κτραφεὶς γένοιτο τοῦ πατρὸς φονεύς·
εἶθ' ὡς Πύλυβον ἤρρησεν οἰδῶν τῷ πόδε·
ἔπειτα γραῦν ἔγημεν, αὐτὸς ὢν νέος,
καὶ πρός γε τούτοις τὴν ἑαυτοῦ μητέρα·
εἶτ' ἐξετύφλωσεν αὐτόν.

ΔΙΟΝΥΣΟΣ.

εὐδαίμων ἄρ' ἦν,
εἰ κἀστρατήγησέν γε μετ' Ἐρασινίδου.

ΕΥΡΙΠΙΔΗΣ.

ληρεῖς· ἐγὼ δὲ τοὺς προλόγους καλῶς ποιῶ.

ΑΙΣΧΥΛΟΣ.

καὶ μὴν μὰ τὸν Δί' οὐ κατ' ἔπος γέ σου κνίσω
τὸ ῥῆμ' ἕκαστον, ἀλλὰ σὺν τοῖσιν θεοῖς
ἀπὸ ληκυθίου σου τοὺς προλόγους διαφθερῶ.

---

V. 1197. εὐτυχὴς edd. ante Brunckium.

V. 1199. οὔμενουν edd. ante Brunckium. Liber Borgianus, μὰ τὸν Δί' οὐ μὲν οὖν οὐ δῆτ'.

V. 1206. εὐδαίμων ἂν ἦν B, Brunckius. καλοὺς

V. 1208. καλοὺς F, Vaticanus. καλῶς C.

V. 1209.–1211. Suidas v. ληκύθιον.

V. 1209. δέ σου Suidas.

V. 1210. τὸ ῥῆμά θ' ἕκαστον Borgianus.

V. 1211. σοι A, Brunckius. τοὺς σοὺς προλόγους B. Vulgata scriptura utuntur Suidas et scholiastes ad v. 1262.

ΕΥΡΙΠΙΔΗΣ.

ἀπὸ ληκυθίου σὺ τοὺς ἐμούς;

ΑΙΣΧΥΛΟΣ.

ἑνὸς μόνου.
ποιεῖς γὰρ οὕτως, ὥστ' ἐναρμόττειν ἅπαν,
καὶ κωδάριον, καὶ ληκύθιον, καὶ θυλάκιον,
ἐν τοῖς ἰαμβείοισι. δείξω δ' αὐτίκα.

ΕΥΡΙΠΙΔΗΣ.

ἰδού, σὺ δείξεις;

ΑΙΣΧΥΛΟΣ.

φημί.

ΔΙΟΝΥΣΟΣ.

καὶ δὴ χρὴ λέγειν.

ΕΥΡΙΠΙΔΗΣ.

Αἴγυπτος, ὡς ὁ πλεῖστος ἔσπαρται λόγος,
ξὺν παισὶ πεντήκοντα ναυτίλῳ πλάτῃ
Ἄργος κατασχών

ΑΙΣΧΥΛΟΣ.

ληκύθιον ἀπώλεσεν.

ΕΥΡΙΠΙΔΗΣ.

τουτὶ τί ἦν τὸ ληκύθιον; οὐ κλαύσεται;

---

V. 1213. ἐναρμόζειν Ravennas, Vaticanus, Baroccianus. Vid. Lobeck. ad Phrynich. p. 241.

V. 1214. καὶ θυλάκιον. Continuato numero tribrachum posuit. Quo non animadverso Porsonus ad Eurip. Med. 150. locum insigniter corruptum dixit qui est longe sanissimus. Consulto Aristophanes tria nomina elegit talia quae adiecto ἀπώλεσεν idonea essent perdendis trimetris Euripideis. θυλάκιον tuetur etiam Suidas v. ληκύθιον.

V. 1215. τοῖσιν Baroccianus.

V. 1217. Arch[illegible]i initium.

ΔΙΟΝΤΣΟΣ.

λέγ' ἕτερον αὐτῷ πρόλογον, ἵνα καὶ γνῷ πάλιν.

ΕΥΡΙΠΙΔΗΣ.

Διόνυσος, ὃς θύρσοισι καὶ νεβρῶν δοραῖς
καθαπτὸς ἐν πεύκαισι Παρνασὸν κάτα
πηδᾷ χορεύων,

ΑΙΣΧΥΛΟΣ.

ληκύθιον ἀπώλεσεν.

ΔΙΟΝΤΣΟΣ.

οἴμοι πεπλήγμεθ' αὖθις ὑπὸ τῆς ληκύθου.

ΕΥΡΙΠΙΔΗΣ.

ἀλλ' οὐδὲν ἔσται πρᾶγμα· πρὸς γὰρ τουτονὶ
τὸν πρόλογον οὐχ ἕξει προσάψαι λήκυθον.
οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ·
ἢ γὰρ πεφυκὼς ἰσθλὸς οὐκ ἔχει βίον,
ἢ δυσγενὴς ὤν

ΑΙΣΧΥΛΟΣ.

ληκύθιον ἀπώλεσεν.

ΔΙΟΝΤΣΟΣ.

Εὐριπίδη,

ΕΥΡΙΠΙΔΗΣ.

τί ἔστιν;

ΔΙΟΝΤΣΟΣ.

ὑφέσθαι μοι δοκεῖ.

---

V. 1220. 1221. Dionyso tribuunt edd. ante Brunckium. Correctum ex ABD.

V. 1222. Initium Hypsipylae.

V. 1223. *πεύκησι* A, Brunckius. — *Παρνασσὸν* edd. ante Brunckium. *Παρνασὸν* ABCD, Baroccianus, Elbingensis.

V. 1228. Initium Stheneboeae.

V. 1231. Libri *δοκεῖς*. Correxit Kuster[illegible]

τὸ ληκύθιον γὰρ τοῦτο πνευσεῖται πολύ.

ΕΥΡΙΠΙΔΗΣ.

οὐδ' ἂν μὰ τὴν Δήμητρα φροντίσαιμί γε·
νυνὶ γὰρ αὐτοῦ τοῦτό γ' ἐκκεκόψεται.

ΔΙΟΝΥΣΟΣ.

ἴθι δὴ λέγ' ἕτερον κἀπέχου τῆς ληκύθου.

ΕΥΡΙΠΙΔΗΣ.

Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπὼν
Ἀγήνορος παῖς

ΑΙΣΧΥΛΟΣ.

ληκύθιον ἀπώλεσεν.

ΔΙΟΝΥΣΟΣ.

ὦ δαιμόνι' ἀνδρῶν, ἀποπρίω τὴν λήκυθον,
ἵνα μὴ διακναίσῃ τοὺς προλόγους ἡμῶν.

ΕΥΡΙΠΙΔΗΣ.

τὸ τί;
ἐγὼ πρίωμαι τῷδ';

ΔΙΟΝΥΣΟΣ.

ἐὰν πείθῃ γ' ἐμοί.

ΕΥΡΙΠΙΔΗΣ.

οὐ δῆτ', ἐπεὶ πολλοὺς προλόγους ἔξω λέγειν

---

V. 1232. τοῦτό γε edd. ante Brunckium praeter Iuntinam primam.

V. 1235. Aeschylo tribuebatur. Correctum in ed. Lugd. Bat. 1624. consentientibus libris scriptis.

V. 1236. Initium Phryxi. — δήποτ' Iuntina prima et libri Baroccianus et Borgianus.

V. 1241. ἐπειδὴ προλόγους, omisso πολλοὺς, Ravennas, Borgianus.

ἵν' οὗτος οὐχ ἕξει προσάψαι λήκυθον.
Πέλοψ ὁ Ταντάλειος εἰς Πῖσαν μολὼν
θοαῖσιν ἵπποις

ΑΙΣΧΥΛΟΣ.

ληκύθιον ἀπώλεσεν.

ΔΙΟΝΥΣΟΣ.

ὁρᾷς, προσῆψεν αὖθις αὖ τὴν λήκυθον.
ἀλλ' ὤγαθ' ἔτι καὶ νῦν ἀπόδου πάσῃ τέχνῃ·
λήψει γὰρ ὀβολοῦ πάνυ καλήν τε κἀγαθήν.

ΕΥΡΙΠΙΔΗΣ.

μὰ τὸν Δί' οὔπω γ'· ἔτι γὰρ εἰσί μοι συχνοί.
Οἰνεύς ποτ' ἐκ γῆς

ΑΙΣΧΥΛΟΣ.

ληκύθιον ἀπώλεσεν.

ΕΥΡΙΠΙΔΗΣ.

ἔασον εἰπεῖν πρῶθ' ὅλον με τὸν στίχον.

---

V. 1243. Iphigeniae Tauricae exordium. — *Πίσσαν* edd. ante Brunckium. *Πίσαν* AC, Brunckius. *Πείσαν* Ravennas, ut codex Mediceus Herodoti II, 7. . *ἐπὶ Πίσσαν* scriptor vitae Isocratis in Orelli opusculis moralibus vol. II. p. 8. . Scripsi ego *Πίσαν*, non impediente Pindaro, qui *Πίσαν* correpta ῐ dixit. Herodianus MS. *περὶ διχρόνων: Τὰ εἰς ᾱ λήγοντα θηλυκὰ, εἴτε ἐπὶ ὀνομάτων εἴτε καὶ ἐπὶ μετοχῶν, εἰ ἔχοι τὴν πρὸ τέλους συλλαβὴν εἰς δίχρονον καταλήγουσαν, πάντως ἐκτεταμένον αὐτὸ ἔχει, πᾶσα, στᾶσα, δῦσα, φῦσα, πῖσα, κρῖσα, κνῖσα. οὐκ ἀγνοῶ δὲ ὅτι πίσαν εἶπε τὴν πόλιν κατὰ συστολὴν πίνδαρος· εἰ μέντοι εἰς σύμφωνον λήγει ἡ πρὸ τέλους συλλαβὴ, τὸ δίχρονον συστέλλεται, θάλασσα, ἄνασσα, κίσσα, νύσσα, λύσσα.* Conf. Stephan. Byzant. v. *Πίσα.*

V. 1246. *ἀπόδου* A, Brunckius. *ἀπόδος* edd. ante Brunckium.

V. 1247. *γε* edd. ante Brunckium. *τε* ABCDFG, Baroccianus, Elbingensis, Monacensis.

V. 1248. *γ'* om. Baroccianus.

Οἰνεύς ποτ' ἐκ γῆς πολύμετρον λαβὼν στάχυν,
θύων ἀπαρχὰς

ΑΙΣΧΥΛΟΣ.

ληκύθιον ἀπώλεσεν.

ΔΙΟΝΥΣΟΣ.

μεταξὺ θύων; καὶ τίς αὖθ' ὑφείλετο;

ΕΥΡΙΠΙΔΗΣ.

ἔασον ὦ τᾶν· πρὸς τοδὶ γὰρ εἰπάτω.
Ζεὺς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο,

ΔΙΟΝΥΣΟΣ.

ἀπολεῖ σ'· ἐρεῖ γὰρ, ληκύθιον ἀπώλεσεν.
τὸ ληκύθιον γὰρ τοῦτ' ἐπὶ τοῖς προλόγοισί σου
ὥσπερ τὰ σῦκ' ἐπὶ τοῖσιν ὀφθαλμοῖς ἔφυ.
ἀλλ' ἐς τὰ μέλη, πρὸς τῶν θεῶν, αὐτοῦ τραποῦ.

ΕΥΡΙΠΙΔΗΣ.

καὶ μὴν ἔχω γ' ὡς αὐτὸν ἀποδείξω κακὸν
μελοποιὸν ὄντα καὶ ποιοῦντα ταῦτ' ἀεί.

ΧΟΡΟΣ.

τί ποτε πρᾶγμα γενήσεται;
φροντίζειν γὰρ ἔγωγ' ἔχω,

---

V. 1251. Ex prologo Meleagri. — πολύβοτρυν L, Barocγρ. πολύμετρον
cianus. πολύβοτρυν F.

V. 1254. ἔ' αὐτὸν edd. ante Brunckium. ἔα 'ὐτὸν BD, Brunckius. ἔα αὖτὸν A. ἔασον αὐτὸν C et ἔασον etiam ex L et Barocciano enotatum. ἔασον ὦ τὰν Ravennas, F, Borgianus. Vid. v. 962.

V. 1255. Melanippae initium.

V. 1258. Pollux II, 65., Suidas v. σῦκον αἰτεῖς.

V. 1259. Edd. omnes τράπου.

V. 1260. ἐπιδείξω Barocciανus.

τίν' ἄρα μέμψιν ἐποίσει
ἀνδρὶ τῷ πολὺ πλεῖστα δὴ
καὶ κάλλιστα μέλη ποιή-
σαντι τῶν ἔτι νυνί.
Θαυμάζω γὰρ ἔγωγ', ὅπῃ
μέμψεταί ποτε τοῦτον
τὸν βακχεῖον ἄνακτα,
καὶ δέδοιχ' ὑπὲρ αὐτοῦ.

ΕΥΡΙΠΙΔΗΣ.

πάνυ γε μέλη θαυμαστά· δείξει δὴ τάχα.
εἷς ἦν γὰρ αὐτοῦ πάντα τὰ μέλη ξυντεμών.

ΔΙΟΝΥΣΟΣ.

καὶ μὴν λογιοῦμαι ταῦτα τῶν ψήφων λαβών.

ΕΥΡΙΠΙΔΗΣ.

Φθιῶτ' Ἀχιλεῦ, τί ποτ' ἀνδροδαΐκτον ἀκούων,
ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν;
Ἑρμᾶν μὲν πρόγονον τίομεν γένος οἱ περὶ λίμναν.
ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν.

ΔΙΟΝΥΣΟΣ.

δύο σοι κόπω Αἰσχύλε τούτω.

ΕΥΡΙΠΙΔΗΣ.

κύδιστ' Ἀχαιῶν Ἀτρέως πολυκοίρανε μάνθανε παῖ.
ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν.

---

V. 1264. Legebatur *μέμψιν γ'*. *γ'* om. F et Baroccianus.

V. 1267. Legebatur *τῶν ἔτι νῦν ὄντων*. Correxit Gaisford. ad Hephaestion. p. 303. comparato v. 1099..

V. 1269. *μέμψαιτο* edd. ante Brunckium. *μέμψεται* ACDEFG, Baroccianus, Poggianus, Elbingensis, Monacensis.

V. 1272. *πάνυ δὴ* Ravennas, Baroccianus.

V. 1274. Post hunc versum parepigraphè in libris, *διαύλιον προσαυλεῖ τις*.

V. 1280. *μάνθανέ μου παῖ* edd. ante Brunckium. *μου* om. A. *παῖ* om. Baroccianus.

ΔΙΟΝΥΣΟΣ.

τρίτος Αἰσχύλε σοι κόπος οὗτος.

ΕΥΡΙΠΙΔΗΣ.

εὐφαμεῖτε πολισσονόμοι δόμον Ἀρτέμιδος πέλας οἴγειν.
ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν.
κύριός εἰμι θροεῖν ὅδισν κράτος αἴσιον ἀνδρῶν.
ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν.

ΔΙΟΝΥΣΟΣ.

ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῶν κόπων ὅσον.
ἐγὼ μὲν οὖν ἐς τὸ βαλανεῖον βούλομαι·
ὑπὸ τῶν κόπων γὰρ τῷ νεφρῷ βρυβωνιῶ.

ΕΥΡΙΠΙΔΗΣ.

μὴ, πρίν γ' ἂν ἀκούσῃς χἀτέραν στάσιν μελῶν
ἐκ τῶν κιθαρῳδικῶν νόμων εἰργασμένην.

ΔΙΟΝΥΣΟΣ.

ἴθι δὴ πέραινε, καὶ κόπον μὴ προστίθει.

---

V. 1282. ὦ *Αἰσχύλε* Baroccianus. ὦ *'σχύλε* F, Ravennas, Borgianus.

V. 1283. Libri omnes *μελισσονόμοι*. Scholiastes, *εὐφημεῖτε μελισσονόμοι. οἱ διανέμοντες τὰ τῆς πόλεως, ἢ οἰκοῦντες ἐν τῇ πόλει.* Unde quod et ego et Seidlerus conieceramus *πολισσονόμοι*, nuper etiam Lobeckius restituit in dissertatione prima de mysteriorum Eleusiniorum gradibus. — *δρόμον* C.

V. 1285. *ὅσιον* edd. ante Brunckium. Correctum ex Aeschyli Agam. 104. et libro Ravennate.

V. 1288. 1289. Suidas v. *βουβωνιῶ*.

V. 1288. *εἰς* Barocçianus, Suidas.

V. 1290. Legebatur *πρίν γ' ἀκούσῃς*. *πρίν γ' ἂν ἀκούσῃς* Reisig. I. p. 66. et Elmsleius ad Acharn. v. 176. Fallitur Elmsleius ad Medeam p. 119.

τίν' ἄρα μέμψιν ἐποίσει
ἀνδρὶ τῷ πολὺ πλεῖστα δὴ
καὶ κάλλιστα μέλη ποιή-
σαντι τῶν ἔτι νυνί.
Θαυμάζω γὰρ ἔγωγ', ὅπῃ
μέμψεταί ποτε τοῦτον
τὸν βακχεῖον ἄνακτα,
καὶ δέδοιχ' ὑπὲρ αὐτοῦ.

ΕΥΡΙΠΙΔΗΣ.

πάνυ γε μέλη θαυμαστά· δείξει δὴ τάχα.
εἷς ἦν γὰρ αὐτοῦ πάντα τὰ μέλη ξυντεμών.

ΔΙΟΝΥΣΟΣ.

καὶ μὴν λογιοῦμαι ταῦτα τῶν ψήφων λαβών.

ΕΥΡΙΠΙΔΗΣ.

Φθιῶτ' Ἀχιλεῦ, τί ποτ' ἀνδροδαΐκτον ἀκούων,
ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν;
Ἑρμᾶν μὲν πρόγονον τίομεν γένος οἱ περὶ λίμναν.
ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν.

ΔΙΟΝΥΣΟΣ.

δύο σοι κόπω Αἰσχύλε τούτω.

ΕΥΡΙΠΙΔΗΣ.

κύδιστ' Ἀχαιῶν Ἀτρέως πολυκοίρανε μάνθανε παῖ.
ἰήκοπον οὐ πελάθ[illegible] ἐπ' ἀρωγάν.

---

V. 1264. Legebatur *μέμψιν γ'*. *γ'* om. F et Baroccianus.

V. 1267. Legebatur *τῶν ἔτι νῦν ὄντων*. Correxit Gaisford. ad Hephaestion. p. 303. comparato v. 1099..

V. 1269. *μέμψαιτο* edd. ante Brunckium. *μέμψεται* A C D E F G, Baroccianus, Poggianus, Elbingensis, Monacensis.

V. 1272. *πάνυ δὴ* Ravennas, Baroccianus.

V. 1274. Post hunc versum parepigraphè in libris, *διαύλιον προσαυλεῖ τις*.

V. 1280. *μάνθανέ μου παῖ* edd. ante Brunckium. *μου* om. A. *παῖ* om. Baroccianus.

ΔΙΟΝΤΣΟΣ.

τρίτος Αἰσχύλε σοι κόπος οὗτος.

ΕΥΡΙΠΙΔΗΣ.

εὐφαμεῖτε πολισσονόμοι δόμον Ἀρτέμιδος πέλας οἴγειν.
ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν.
κύριός εἰμι θροεῖν ὅδισν κράτος αἴσιον ἀνδρῶν.
ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν.

ΔΙΟΝΤΣΟΣ.

ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῶν κόπων ὅσον.
ἐγὼ μὲν οὖν ἐς τὸ βαλανεῖον βούλομαι·
ὑπὸ τῶν κόπων γὰρ τῷ νεφρῷ βρυβωνιῶ.

ΕΥΡΙΠΙΔΗΣ.

μὴ, πρίν γ' ἂν ἀκούσῃς χἀτέραν στάσιν μελῶν
ἐκ τῶν κιθαρῳδικῶν νόμων εἰργασμένην.

ΔΙΟΝΤΣΟΣ.

ἴθι δὴ πέραινε, καὶ κόπον μὴ προστίθει.

---

V. 1282. ὦ *Αἰσχύλε* Baroccianus. ὦ 'σχύλε F, Ravennas, Borgianus.

V. 1283. Libri omnes *μελισσονόμοι*. Scholiastes, *εὐφημεῖτε μελισσονόμοι. οἱ διανέμοντες τὴν τῆς πόλεως, ἢ οἰκοῦντες ἐν τῇ πόλει.* Unde quod et ego et Seidlerus conieceramus *πολισσονόμοι*, nuper etiam Lobeckius restituit in dissertatione prima de mysteriorum Eleusiniorum gradibus. — *δρόμον* C.

V. 1285. ὅσιον edd. ante Brunckium. Correctum ex Aeschyli Agam. 104. et libro Ravennate.

V. 1288. 1289. Suidas v. *βουβωνιῶ*.

V. 1288. *εἰς* Baroccianus, Suidas.

V. 1290. Legebatur *πρίν γ' ἀκούσης*. *πρίν γ' ἂν ἀκούσῃς* Reisig. I. p. 66. et Elmsleius ad Acharn. v. 176. . Fallitur Elmsleius ad Medeam p. 119. .

ΕΥΡΙΠΙΔΗΣ.

ὅπως Ἀχαιῶν δίθρονον κράτος, Ἑλλάδος ἥβας,
τὸ φλαττοθραττοφλαττόθρατ,
Σφίγγα δύσαμερίαν, πρύτανιν κύνα, πέμπει,
τὸ φλαττοθραττοφλαττόθρατ,
σὺν δορὶ καὶ χερὶ πράκτορι θούριος ὄρνις,
τὸ φλαττοθραττοφλαττόθρατ,
κυρεῖν. παρασχὼν ἰταμαῖς κυσὶν ἀερροφίτοις,
τὸ φλαττοθραττοφλαττόθρατ,
τὸ συγκλινὲς ἐπ' Αἴαντι,
τὸ φλαττοθραττοφλαττόθρατ.

ΔΙΟΝΥΣΟΣ.

τί τὸ φλαττόθρατ τοῦτ' ἐστίν; ἐκ Μαραθῶνος, ἢ
πόθεν ξυνέλεξας ἱμονιοστρόφου μέλη;

ΑΙΣΧΥΛΟΣ.

ἀλλ' οὖν ἐγὼ μὲν ἐς τὸ καλὸν ἐκ τοῦ καλοῦ
ἤνεγκον αὖθ', ἵνα μὴ τὸν αὐτὸν Φρυνίχῳ
λειμῶνα Μουσῶν ἱερὸν ὀφθείην δρέπων·
οὗτος δ' ἀπὸ πάντων μὲν φέρει πορνιδίων,
σκολιῶν Μελήτου, Καρικῶν αὐλημάτων,

---

V. 1293. Legebatur ἤβαν, quemadmodum in Aeschyli codicibus scriptum Agam. v. 108. ἥβας ACF, Ravennas, Baroccianus, Borgianus.

V. 1301. συγκλινὲς ἐπ' F, Baroccianus, Iuntina prima.

V. 1304. συνέλεξας edd. ante Brunckium. Attica littera ex F enotata.

V. 1305. εἰς Baroccianus.

V. 1307. ἱερῶν edd. ante Brunckium. ἱερὸν CDFG, Baroccianus.

V. 1308. οὗτος δ' ἀπὸ πάντων πορνιδίων μέλη φέρει Porsonus.

V. 1309. σκολίων liber Poggianus, scholiastes. — Legebatur Μελίτου. Μελήτου F et Baroccianus. — Edd. ante Brunckium καὶ Καρικῶν. καὶ om. ACDE, Vaticanus, Baroccianus, Suidas v. Μέλιτος et v. σκολιά.

θρήνων, χορείων. τάχα δὲ δηλωθήσεται.
ἐνεγκάτω τις τὸ λύριον. καί τοι τί δεῖ
λύρας ἐπὶ τοῦτον; ποῦ 'στιν ἡ τοῖς ὀστράκοις
αὕτη κροτοῦσα; δεῦρο Μοῦσ' Εὐριπίδου,
πρὸς ἥνπερ ἐπιτήδεια τάδ' ἔστ' ᾄδειν μέλη.

ΔΙΟΝΥΣΟΣ.

αὕτη ποθ' ἡ Μοῦσ' οὐκ ἐλεσβίαζεν, οὔ.

ΑΙΣΧΥΛΟΣ.

ἀλκυόνες, αἳ παρ' ἀεννάοις θαλάσσης
κύμασι στωμύλλετε,
τέγγουσαι νοτίαις πτερῶν
ῥανίσι χρόα δροσιζόμεναι·
αἳ δ' ὑπωρόφιοι κατὰ γωνίας

---

V. 1312. τούτων F et liber Poggianus.

V. 1313. ὀστράκοις αὕτη κροτοῦσα δεῦρο μοῦσ' Εὐριπίδου Phrynichus in Bekkeri Anecdotis p. 46, 3.: unde recepi αὕτη pro vulgato αὐτή.

V. 1314. Edd. ante Brunckium ἐπιτήδειά ταῦτ' ᾄδειν. ἐπιτήδεια τάδ' ἔστ' ᾄδειν Vaticanus, Ravennas, Baroccianus.

V. 1315. Brunckius, ἐλεσβίαζεν; οὔκ;. ἐλεσβίαζεν οὖν Reiskius et Elmsleius ad Acharn. v. 428.. Verba αὕτη ποθ' ἡ Μοῦσ' οὐκ ἐλεσβίαζε affert Eustathius p. 741, 20. .

V. 1316. ἀενάοις edd. ante Brunckium. ἀεννάοις ABCDF, Monacensis, liber Poggianus. ἀενάοις G.

V. 1318. τέγκουσαι F, Baroccianus. τέγγονται scholiastes. — Legebatur νοτερῆς. νοτεραῖς Baroccianus. νοτερδῖς Florentini quattuor et Elbingensis. νοτίοις Ravennas, Borgianus. νοτίαις F et liber Poggianus. Ita scholiastes legisse videtur: τέγγονται νοτεραῖς. τὸ ἑξῆς, νοτίαις ῥανίσι πτερύγων χρόα δροσιζόμεναι. νοτερδῖς Florentinus unus. — πτερὸν Elbingensis, Reiskius.

V. 1320. Verba κατὰ γωνίας exciderunt in ed. Aldina et Iuntina II. .

εἰειειειειειλίσσετε δακτύλοις φάλαγγες
ἰστότονα πηνίσματα,
κερκίδος ἀοιδοῦ μελέτας,
ἵν' ὁ φίλαυλος ἔπαλλε δελ-
φὶς πρῴραις κυανεμβόλοις,
μαντεῖα καὶ σταδίους.
οἰνάνθας γάνος ἀμπέλου,
βότρυος ἕλικα παυσίπονον.
περίβαλλ' ὦ τέκνον ὠλένας.
ὁρᾷς τὸν πόδα τοῦτον;

ΔΙΟΝΤΣΟΣ.

ὁρῶ.

ΑΙΣΧΥΛΟΣ.

τί δαί; τοῦτον ὁρᾷς;

ΔΙΟΝΥΣΟΣ.

ὁρῶ.

ΑΙΣΧΥΛΟΣ.

τοιαυτὶ μέντοι σῦ ποιῶν
τολμᾷς τἀμὰ μέλη ψέγειν,
ἀνὰ τὸ δωδεκαμήχανον
Κυρήνης μελοποιῶν;
τὰ μὲν μέλη σου ταῦτα· βούλομαι δ' ἔτι

---

V. 1321. *εἰ* ter G, quater F et Baroccianus, septies Monacensis. — *εἰλίσσετο δ. φ. ἰ. π.* Suidas v. *φάλαγξ*.

V. 1322. *πηνίσματα, καὶ* — edd. ante Brunckium. Correctum ex D.

V. 1324. 1325. Euripides Electr. 438.

V. 1328. Suidas v. *γάνος*.

V. 1329. *περίβαλ'* G, Baroccianus, Florentini sex, Elbingensis et scholiastes.

V. 1332. *τοιαυτὶ* Ravennas, Baroccianus et F. Legebatur *τοιαῦτα*.

V. 1336. *σοι* excerpta Scaligeri.

τὸν τῶν μονῳδιῶν διεξελθεῖν τρόπον.
ὦ Νυκτὸς κελαινοφαὴς
ὄρφνα, τίνα μοι
δύστανον ὄνειρον
πέμπεις ἐξ ἀφανοῦς,
Ἀΐδα πρόπολον,
ψυχὰν ἄψυχον ἔχοντα,
μελαίνας Νυκτὸς παῖδα,
φρικώδη δεινὰν ὄψιν,
μελανονεκυείμονα,
φόνια φύνια δερκόμενον,
μεγάλους ὄνυχας ἔχοντα.
ἀλλά μοι, ἀμφίπολοι, λύχνον ἅψατε

---

V. 1337. τῶν σῶν „quidam" in excerptis Scaligeri. — πόνον pro τρόπον G, Elbingensis et Florentini septem, quorum in duorum marginibus altera annotata scriptura, τρόπον.

V. 1339. Suidas v. κελαινοφαής. — Libri aliquot κελαινοφανής.

V. 1340. ὄρφνη Suidas. ὄρνα (sic) G. Scribendum videtur ὀρφναία, rarioris usus nomen. — δύστηνον edd. ante Brunckium. δύστανον ADE, Baroccianus. Ceterum versus in edd. ante Brunckium ita sunt descripti:

ὄρφνα, τίνα μοι δύστηνον
ὄνειρον πέμπεις ἐξ ἀφανοῦς,
ἄΐδα πρόςπολον
ψυχὰν ἄψυχον ἔχοντα,
μελαίνας νυκτὸς παῖδα,
φρικώδη δεινὰν ὄψιν, —

Brunckius ex codice A, quicum congruit Ravennas, ὄρφνα — ὄνειρον | πέμπεις — πρόπολον | ψυχὰν — μελαίνας | Νυκτὸς — ὄψιν, —

V. 1342. πρόςπολον edd. ante Brunckium. πρόπολον AB, Brunckius. πρόμολον EF, Baroccianus, Victorianus. πρόμολπον (i. e. πρόμολον) L. In E et F gl. πρόδρομον καὶ θανάτου σημαντικόν.

V. 1343. ψυχρὰν G.

V. 1345. φρικώδη om. M.

κάλπισί τ' ἐκ ποταμῶν δρόσον ἄρατε, θέρμετε δ' ὕδωρ,
ὡς ἂν θεῖον ὄνειρον ἀποκλύσω.
ἰὼ πόντιε δαῖμον,
τοῦτ' ἐκεῖν'· ἰὼ ξύνοικοι,
τάδε τέρατα θεάσασθε.
τὸν ἀλεκτρυόνα μου ξυναρπάσασα
φρούδη Γλύκη.
Νύμφαι ὀρεσσίγονοι,
ὦ Μανία, ξύλλαβε.
ἐγὼ δ' ἁ τάλαινα προσέχουσ' ἔτυχον
ἐμαυτῆς ἔργοισι,
λίνου μεστὸν ἄρακτον
εἰειειειειειλίσσουσα χεροῖν,
κλωστῆρα ποιοῦσ', ὅπως
κνεφαῖος εἰς ἀγορὰν
φέρουσ' ἀποδοίμαν·
ὁ δ' ἀνέπτατ' ἀνέπτατ' ἐς αἰθέρα
κορυφοτάταις πτερύγων ἀκμαῖς·
ἐμοὶ δ' ἄχε' ἄχεα κατέλιπε,

---

V. 1350. *θέρμετέ θ' ὕδωρ* F. *ὕδωρ* produxit in modum Homerici, *θέρμετο δ' ὕδωρ*.

V. 1352. *πόντιμε* Barocciauus.

V. 1355. *μου* in textu om. M, sed habet supra *ξυν.*.

V. 1357. *ὀρεσσίγονοι* Florentinus liber unus et Bentleius. Legebatur *ὀρεσίγονοι*. — Dobraeus, „*ὀρεσιγόοις* sine *νύμ.* (Ita enotavi) M.“

V. 1359. *ἐτύγχανον* E.

V. 1362. *εἰ* ter edd. ante Brunckium, qui exaequavit versui 1321.: quater FG.

V. 1364. 1365. Suidas v. *κνεφαῖος*. — Legebatur *ἐς τὴν ἀγορὰν*. *εἰς ἀγορὰν* repositum ex FM, Ravennate, scholiaste, Suida. — *ἀποδοίμην* M, Suidas. *ἀποδοίμην ἂν* E. Versus autem ita erant descripti:

*κλωστῆρα ποιοῦσ', ὅπως κνεφαῖος*
*ἐς τὴν ἀγορὰν φέρουσ' ἀποδοίμαν.*

V. 1366. *εἰς* FM. *ἐπ'* Ravennas. *ἐπὶ* gl. in F.

V. 1368. Semel *ἄχεα*, ut videtur, M.

δάκρυα δάκρυά τ' ἀπ' ὀμμάτων
ἔβαλον ἔβαλον ἁ τλάμων.
ἀλλ' ὦ Κρῆτες, Ἴδας τέκνα,
τὰ τόξα λαβόντες ἐπαμύνατε,
τὰ κῶλά τ' ἀμπάλλετε, κυ-
κλούμενοι τὴν οἰκίαν.
ἅμα δὲ Δίκτυννα παῖς
Ἄρτεμις καλὰ
τὰς κυνίσκας ἔχουσ' ἐλθέτω
διὰ δόμων πανταχῇ.
σὺ δ' ὦ Διὸς, διπύρους ἀνέχουσα
λαμπάδας ὀξυτάταιν χε-
ροῖν, Ἑκάτα, παράφηνον
ἐς Γλύκης, ὅπως ἂν
εἰσελθοῦσα φωράσω.

ΔΙΟΝΥΣΟΣ.

παύσασθον ἤδη τῶν μελῶν.

ΑΙΣΧΥΛΟΣ.

κἀμοί γ' ἅλις.
ἐπὶ τὸν σταθμὸν γὰρ αὐτὸν ἀγαγεῖν βούλομαι,

---

V. 1369. τ' om. M.

V. 1370. ἔβαλλον bis EF.

V. 1371. Ἴδης edd. ante Brunckium. Ἴδας ex tribus codicibus η
Brunckius. ἴδας M.

V. 1377. διὰ δόμων ταχύ D.

V. 1379.–1383. Correxi pravam versuum descriptionem.

V. 1379. διαπύρους CF, liber Poggianus. Gl. in C, διακαεῖς ἢ διπύρους, ἤτοι διπλᾶς. in F, διακαεῖς ἢ διπλοῦς. in Poggiano, διακαεῖς. διπύρους M cum gl. διπλᾶς.

V. 1380. ὀξυτάτας ACDM.

V. 1382. ἂν om. edd. ante Brunckium: accessit ex ACF, Vaticano, Florentinis.

V. 1385. αὐτὸν om. edd. ante Brunckium: habent AGDFGM, Poggianus. τοῦτον γὰρ ἀγ. B. Dionysi persona huic versui praefixa in M, omissa autem ante v. 1388..

ὅσπερ γ' ἐλέγξει τὴν ποίησιν νῷν μόνος·
τὸ γὰρ βάρος νῷν βασανιεῖ τῶν ῥημάτων.

ΔΙΟΝΥΣΟΣ.

ἴτε δεῦρό νυν, εἴπερ γε δεῖ καὶ τοῦτό με
ἀνδρῶν ποιητῶν τυροπωλῆσαι τέχνην.

ΧΟΡΟΣ.

ἐπίπονοί γ' οἱ δεξιοί.
τόδε γὰρ ἕτερον αὖ τέρας
νεοχμὸν, ἀτοπίας πλέων,
ὁ τίς ἂν ἐπενόησεν ἄλλος;
μὰ τὸν, ἐγὼ μὲν οὐδ' ἂν εἴ τις
ἔλεγέ μοι τῶν ἐπιτυχόντων,
ἐπιθόμην, ἀλλ' ᾠόμην ἂν
αὐτὸν αὑτὰ ληρεῖν.

ΔΙΟΝΥΣΟΣ.

ἴθι νυν παρίστασθον παρὰ τῶ πλάστιγγ',

ΑΙΣΧΥΛΟΣ καὶ ΕΥΡΙΠΙΔΗΣ.

ἰδού.

ΔΙΟΝΥΣΟΣ.

καὶ λαβομένω τὸ ῥῆμ' ἑκάτερος εἴπατον,
καὶ μὴ μεθῆσθον, πρὶν ἂν ἐγὼ σφῷν κοκκύσω.

---

V. 1386. ὅσπερ ἐ. — μόνως M. νῷν μόνον Ravennas.
V. 1388. γε om. M.
V. 1389. Legebatur τὴν τέχνην. τὴν om. ACDEFGM, Ravennas. Correxit etiam Brunckius in annotatione.
V. 1391. 1392. Suidas v. νεοχμός. — νεωχμὸν M.
V. 1393. ὅστις primo M. — ὑπεν. M.
V. 1396. ἐπειθόμην edd. ante Brunckium. ἐπιθόμην BGM.
V. 1398. ἴθι δὴ Ravennas. παρίσθον περὶ M.
V. 1398. 1401. Verba ἰδού et ἐχόμεθα vulgo Euripidi, in aliis libris Aeschylo tributa: recte utrique in CE et Poggiano.
V. 1400. Legebatur μεθεῖσθον. μεθῆσθον BCG, Ravennas.

ΑΙΣΧΥΛΟΣ καὶ ΕΥΡΙΠΙΔΗΣ.

ἐχόμεθα.

ΔΙΟΝΥΣΟΣ.

τοὔπος νῦν λέγετον εἰς τὸν σταθμόν.

ΕΥΡΙΠΙΔΗΣ.

εἶθ' ὥφελ' Ἄργους μὴ διαπτάσθαι σκάφος.

ΑΙΣΧΥΛΟΣ.

Σπερχειὸς ποταμὸς βουνόμοι τ' ἐπιστροφαί.

ΔΙΟΝΥΣΟΣ.

κόκκυ, μεθεῖτε· καὶ πολύ γε κατωτέρω
χωρεῖ τὸ τοῦδε.

ΕΥΡΙΠΙΔΗΣ.

καὶ τί ποτ' ἐστὶ ταῖτιον;

ΔΙΟΝΥΣΟΣ.

ὅτι εἰςέθηκε ποταμὸν, ἐριοπωλικῶς
ὑγρὸν ποιήσας τοῦπος ὥςπερ τἄρια,
σὺ δ' εἰςέθηκας τοῦπος ἐπτερωμένον.

ΕΥΡΙΠΙΔΗΣ.

ἀλλ' ἕτερον εἰπάτω τι κἀντιστησάτω.

ΔΙΟΝΥΣΟΣ.

λάβεσθε τοίνυν αὖθις.

---

V. 1401. ἐχόμεσθα FG. — ἐπὶ edd. ante Brunckium vennas. εἰς ABCG. ἐς F cum gl. ἐπί.

V. 1402. Medeae initium, 1403. Philoctetae. — Scrib διαπτᾶσθαι. Correxit Porsonus. — σκάφη M.

V. 1404. μέθεσθε Porsonus.

V. 1405. Dobraeus, „κατωτέρω· ἄφετε τὰς πλάστιγγας. χωρεῖ — tum om. Εὐρ. (Haec omnia agnoscit sch. marg.

V. 1406. ὅτ' edd. ante Brunckium. ὅτι ABCFG.

ΑΙΣΧΥΛΟΣ καὶ ΕΥΡΙΠΙΔΗΣ.

ἦν' ἰδού.

ΔΙΟΝΥΣΟΣ.

λέγε.

ΕΥΡΙΠΙΔΗΣ.

οὐκ ἔστι πειθοῦς ἱερὸν ἄλλο πλὴν λόγος.

ΑΙΣΧΥΛΟΣ.

μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἑρᾷ.

ΔΙΟΝΥΣΟΣ.

μεθεῖτε, μεθεῖτε· καὶ τὸ τοῦδέ γ' αὖ ῥέπει·
θάνατον γὰρ εἰςέθηκε βαρύτατον κακῶν.

ΕΥΡΙΠΙΔΗΣ.

ἐγὼ δὲ πειθώ γ', ἕπος ἄρισθ' εἰρημένον.

ΔΙΟΝΥΣΟΣ.

πειθὼ δὲ κοῦφόν ἐστι καὶ νοῦν οὐκ ἔχον.
ἀλλ' ἕτερον αὖ ζήτει τι τῶν βαρυστάθμων,
ὅ τι σοι καθέλξει, κἀρτερόν τε καὶ μέγα.

ΕΥΡΙΠΙΔΗΣ.

φέρε ποῦ τοιοῦτο δῆτά μοὐστί;

---

V. 1410. ἦν' ἰδού. Haec verba in CE Aeschylo et Euripidi tribuuntur, ut v. 1398. et 1401.: Aeschylo in AFGM, Euripidi in libris editis. ἦν. ἰδού. λέγε G. et ἦν ἰδού scribit Brunckius ad Equit. v. 26. .

V. 1411. ex Antigona, 1412. ex Niobe. — Suidas v. πειθώ.

V. 1412. Suidas v. θανατῶν.

V. 1413. μεθεσθε, μέθεσθε Porsonus.

V. 1417. ζήτει γε τῶν EF. ζητεῖτε τῶν AM, Elbingensis. ζήτει τῶν B. — βαρυστάθμων. Pollux IV, 172. .

V. 1419. Legebatur, Εὐρ. φέρε — ποῦ φράσω; Δι. βέβληκ' Ἀχιλλεὺς cet. . Correxit Seidlerus. Qui sequitur versus, ex Telepho Euripidis est notante Eustathio p. 1897, 19. . Scholiastes, βέβληκ' Ἀχιλλεύς. Ἀρίσταρχός φησιν ἀδεσπότως τοῦτο προ-

ΔΙΟΝΥΣΟΣ.

ποῦ; φράσω·

βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέτταρα.
λέγοιτ' ἄν, ὡς αὕτη 'στὶ λοιπὴ σφῷν στάσις.

ΕΥΡΙΠΙΔΗΣ.

σιδηροβριθὲς τ' ἔλαβε δεξιᾷ ξύλον.

ΑΙΣΧΥΛΟΣ.

ἐφ' ἅρματος γὰρ ἅρμα καὶ νεκρῷ νεκρός.

ΔΙΟΝΥΣΟΣ.

ἐξηπάτηκεν αὖ σὲ καὶ νῦν.

ΕΥΡΙΠΙΔΗΣ.

τῷ τρόπῳ;

ΔΙΟΝΥΣΟΣ.

δύ' ἅρματ' εἰσήνεγκε καὶ νεκρὼ δύο,
οὓς οὐκ ἂν ἄραιντ' οὐδ' ἑκατὸν Αἰγύπτιοι.

ΑΙΣΧΥΛΟΣ.

καὶ μηκέτ' ἔμοιγε κατ' ἔπος, ἀλλ' ἐς τὸν σταθμὸν

---

φέρεσθαι, ὡς Εὐριπίδου πεποιηκότος κυβεύοντας ἐν τῷ Τηλέφῳ οὓς καὶ περιεῖλε. μήποτ' οὖν ἐκεῖθεν ἦν. μᾶλλον δὲ ἐσχεδιακὼς ἂν εἴη Ἀριστοφάνης. οὐδὲ γὰρ τὸν Εὐριπίδην τοῦτο προφερόμενον, ἀλλὰ τὸν Διόνυσον χλευάζοντα. τινὲς δὲ ὅτι ἐν τῷ Φιλοκτήτῃ ἦν ὁ τόπος. οἱ δὲ ἐν τῇ Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι. ἐμφαίνει δὲ καὶ Εὔπολις τοῦτο εἰδώς· ἀποφθαρεὶς δὲ δύο κύβω καὶ τέτταρα. τοῦτο δὲ Διόνυσος ὑποβάλλει αὐτῷ χλευάζων.

V. 1421. φράσις Vaticanus.

V. 1422. ex Meleagro, 1423. ex Glauco Potniensi. — Suidas v. βρῖθος.

V. 1425. εἰσήνεγκε E et Ravennas. Legebatur εἰσέθηκε. — νεκροὺς M. — δύω edd. ante Brunckium.

V. 1426. Suidas v. ἄραιτο et v. ἀχθοφόρον. — ὡς οὐκ Brunckius tacite.

V. 1427. καὶ μὴ κατ' ἔπος ἔμοιγ' ἔτ' Elmsleius ad Acharn. 178. in Auctario (p. 72. ed. Lips.).

αὐτὸς, τὰ παιδί', ἡ γυνὴ, Κηφισοφῶν,
ἐμβὰς καθήσθω ξυλλαβὼν τὰ βιβλία·
ἐγὼ δὲ δύ' ἔπη τῶν ἐμῶν ἐρῶ μόνα.

ΔΙΟΝΥΣΟΣ.

ἄνδρες σοφοὶ, κἀγὼ μὲν αὐτοὺς οὐ κρινῶ.
οὐ γὰρ δι' ἔχθρας οὐδετέρῳ γενήσομαι.
τὸν μὲν γὰρ ἡγοῦμαι σοφὸν, τῷ δ' ἥδομαι.

ΠΛΟΥΤΩΝ.

οὐδὲν ἄρα πράξεις ὧνπερ ἦλθες οὕνεκα.

ΔΙΟΝΥΣΟΣ.

ἐὰν δὲ κρίνω;

ΠΛΟΥΤΩΝ.

τὸν ἕτερον λαβὼν ἄπει,
ὁπότερον ἂν κρίνῃς, ἵν' ἔλθῃς μὴ μάτην.

ΔΙΟΝΥΣΟΣ.

εὐδαιμονοίης. φέρε, πύθεσθέ μου ταδί.
ἐγὼ κατῆλθον ἐπὶ ποιητήν.

ΕΥΡΙΠΙΔΗΣ.

τοῦ χάριν;

---

V. 1428. αὐτὸς, τὰ παιδία, χὴ γυνὴ, Κηφισοφῶν edd. ante Brunckium. Correxerunt Reiskius et Brunckius comparato v. 595. . χὴ γυνὴ χὠ Κηφισοφῶν scriptum in BEGM.

V. 1430. μόνον M, Ravennas.

V. 1431. Scribebatur ἄνδρες sine articulo. Addidit Seagerus. — φίλοι E, Iuntina secunda. φίλοι et γρ. σοφοὶ F.

V. 1432. 1433. Suidas v. δι' ἔχθρας.

V. 1434. Scholiastes, οὐδὲν ἄρα πράξεις. Ἀπολλώνιος τοῦ Πλούτωνος εἶναί φησι τοῦτο, καὶ γίνεται πρόσωπα ἐν τῇ σκηνῇ δ'. τινὲς δὲ τοῦ χοροῦ.

V. 1437. τοδί C.

V. 1438. Verbis τοῦ χάριν; in editionibus Aldina et Iuntina secunda nulla praemissa personae nota. Plutoni tribuuntur in

ΔΙΟΝΥΣΟΣ.

ἵν' ἡ πόλις σωθεῖσα τοὺς χορούς ἄγῃ.
ὁπότερος οὖν ἂν τῇ πόλει παραινέσειν
μέλλῃ τι χρηστὸν, τοῦτον ἄξειν μοι δοκῶ.
πρῶτον μὲν οὖν περὶ Ἀλκιβιάδου τίν' ἔχετον
γνώμην ἑκάτερος; ἡ πόλις γὰρ δυστοκεῖ.

ΕΥΡΙΠΙΔΗΣ.

ἔχει δὲ περὶ αὐτοῦ τίνα γνώμην;

ΔΙΟΝΥΣΟΣ.

τίνα;
ποθεῖ μὲν, ἐχθαίρει δὲ, βούλεται δ' ἔχειν.
ἀλλ' ὅ τι νοεῖτον, εἴπατον τούτου πέρι.

ΕΥΡΙΠΙΔΗΣ.

μισῶ πολίτην, ὅστις ὠφελεῖν πάτραν
βραδὺς φανεῖται, μεγάλα δὲ βλάπτειν ταχύς,
καὶ πόριμον αὑτῷ, τῇ πόλει δ' ἀμήχανον.

ΔΙΟΝΥΣΟΣ.

εὖ γ' ὦ Πόσειδον· σὺ δὲ τίνα γνώμην ἔχεις;

---

quattuor de Brunckianis libris, Vaticano, Iuntina prima. Aeschylo tribuit Portus: recte Euripidi Brunckius, consentiente libro Elbingensi.

V. 1440. ἂν οὖν edd. ante Brunckium. οὖν ἂν CEF. Correxerat Reiskius.

V. 1441. Legebatur *μέλλει*.

V. 1442. ἔχετε M.

V. 1444. Aeschylo haec verba tribuunt edd. ante Brunckium, qui ex B correxit. — δὲ om. M.

V. 1445. Plutarchus Vit. Alcib. p. 199. A.: 1445. 1447.-1449. Suidas v. *Σίφνιοι*. — ἐχθραίνει M.

V. 1448. φανεῖται repositum ex libro Ravennate et Suida. Legebatur *πέφυκε*. — μεγάλα δὲ AC, Ravennas, Suidas. Legebatur *μάλα δὲ γε*. γε om. F. μεγάλα omissis δέ γε habet M.

ΑΙΣΧΥΛΟΣ.

[οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν.]
μάλιστα μὲν λέοντα μὴ 'ν πόλει τρέφειν·
ἢν δ' ἐκτρέφῃ τις, τοῖς τρόποις ὑπηρετεῖν.

ΔΙΟΝΥΣΟΣ.

νὴ τὸν Δία τὸν σωτῆρα, δυσκρίτως γ' ἔχω·
ὁ μὲν σοφῶς γὰρ εἶπεν, ὁ δ' ἕτερος σαφῶς.
ἀλλ' ἔτι μίαν γνώμην ἑκάτερος εἰπάτον
περὶ τῆς πόλεως ἣν τιν' ἔχετον σωτηρίαν.

---

V. 1451. - 1455. Suidas v. οὐ χρὴ et v. σκύμνος. 1452. 1453. Plutarchus Vit. Alcib. p. 199. A. . Versum 1452. eiecit Bruncknius, in tribus, si illi fides, codicibus omissum. Quibus quum Plutarchi auctoritatem accedere ait, fallitur. Non hunc ille versum, sed praecedentem, οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν, omittit, eumque nos ut spurium notavimus. Grammaticorum commenta exposuit scholiastes, μάλιστα μὲν λέοντα. μάλιστα μὲν μὴ ἀνατρέφειν φρόνημα ἔχοντα· ἐὰν δὲ ἀνατρέφῃ, μὴ ἐρεθίζειν, ἀλλὰ τιθασῶσαι. ὥστε ὁ μὲν Εὐριπίδης συμβεβούλευκε μὴ δέχεσθαι, ὁ δὲ Αἰσχύλος τοιαύτην τινὰ διάνοιαν, ἢ μὴ καταδέξασθαι, ἢ καταδεξαμένους τροποφορεῖν. ἔν τισι δὲ μετὰ τὸ πρῶτον, παρήγαγε γράφεται, ὥστε εἶναι τὸ μὲν πρῶτον ὁμολογουμένως Αἰσχύλου, τὸ δὲ ἑξῆς ἄδηλον τίνος. ἢ γὰρ Εὐριπίδης δίς ἐστιν ἀποφηνάμενος, ἢ ὁ Διόνυσος ἀντακούειν ἐκείνου αὐτὸς ἢ λέγων, καὶ ταῦτα ἐπεξεργαζόμενος τὸ παρ' Αἰσχύλου λεγόμενον, ἢ ὁ χορός. ἔν τισι δὲ ἑνός ἐστι τὰ τρία, τοῦ Αἰσχύλου, πρῶτον μὲν ἀποφατικῶς λέγοντος, τὰ δὲ ἑξῆς δύο, μαλακώτερον ὑποτιθεμένου. Valerius Maximus VII, 2. 7. extern. „Aristophanis quoque altioris est prudentiae praeceptum, qui in comoedia introduxit remissum ab inferis Atheniensem Periclem, vaticinantem, non oportere in urbe nutriri leonem; sin autem sit alitus, obsequi ei convenire.“

V. 1452. μάλιστα δὲ λ. F. Et ita scriptum citat Pighius annotatione ad Valerium Maximum.

V. 1453. Legebatur ἐκτραφῇ. Correctum ex Plutarcho. Vera scriptura fortasse exstitit in libro scholiastae, si coniecturam facere licet ex eius verbis, ἐὰν δὲ ἀνατρέφῃ.

ΕΥΡΙΠΙΔΗΣ.

[εἴ τις πτερώσας Κλεόκριτον Κινησίᾳ,
αἴροιεν αὖραι πελαγίαν ὑπὲρ πλάκα.

ΔΙΟΝΥΣΟΣ.

γέλοιον ἄν φαίνοιτο· νοῦν δ' ἔχει τίνα;

ΕΥΡΙΠΙΔΗΣ.

εἰ ναυμαχοῖεν, κἄτ' ἔχοντες ὀξίδας
ῥαίνοιεν ἐς τὰ βλέφαρα τῶν ἐναντίων.]
ἐγὼ μὲν οἶδα, καὶ θέλω φράζειν.

ΔΙΟΝΥΣΟΣ.

λέγε.

ΕΥΡΙΠΙΔΗΣ.

ὅταν τὰ νῦν ἄπιστα πίσθ' ἡγώμεθα,
τὰ δ' ὄντα πίστ' ἄπιστα.

---

V. 1458.–1462. 1473. 1474. ut spurios seclusi Aristarchi et Apollonii iudicium secutus. Scholiastes, ἀθετεῖ τοὺς πέντε ἐφεξῆς στίχους ἕως τοῦ, ῥαίνοιεν εἰς τὰ βλέφαρα τῶν ἐναντίων, Ἀρίσταρχος. ὅτι φορτικώτεροί εἰσι καὶ εὐτελεῖς, διὰ τοῦτο ὑποπτεύονται. Ἀπολλώνιος δὲ οὐ διὰ τοῦτο, ἀλλ' ὅτι οὐ πρὸς τὴν ὑπόθεσιν ἔχουσί τι. Non esse hos versus ab Aristophane profectos, indicio est ipsum proximi versus initium, ἐγὼ μὲν οἶδα, quod Brunckius satis leviter in ἕτερον μὲν οἶδα mutaverat. Tum scholiastes ad v. 1473. ταυτὶ πότερ' αὐτός. συναθετεῖται τοῖς ἄνω καὶ οὗτος. μένων γὰρ ἀκριβεῖ τὴν ἐκείνων ἀθέτησιν, ἐν ᾗ φαίνεται τὰ μὲν πρότερα Αἰσχύλος λέγων, τὰ δὲ ἑξῆς Εὐριπίδης.

V. 1458. Λεώκριτον Suidas v. Λεώκριτος: sed Κλεόκ. v. Κλεόκριτος.

V. 1459. αἴρει ἐν αὔρα F. αἴροι ἐν αὔρᾳ liber Poggianus. αἴροιαν G M.

V. 1461. Edd. ante Brunckium praeter Iuntinam primam, εἰ ναυμαχοῖεν ἄν, κατέχοντές τ' ὀξίδας. Correctum ex Iuntina prima, Ravennate et M. εἰ ναυμαχοῖεν κατέχοντες ὀξίδας A C. εἰ ναυμαχοῖεν κατέχοντές τ' ὀξίδας E. κατέχοντες ὀξίδας scholiastae annotationi praefixum.

ΔΙΟΝΥΣΟΣ.

πῶς; οὐ μανθάνω.
ἀμαθέστερόν πως εἰπὲ καὶ σαφέστερον.

ΕΥΡΙΠΙΔΗΣ.

εἰ τῶν πολιτῶν οἷσι νῦν πιστεύομεν,
τούτοις ἀπιστήσαιμεν, οἷς δ' οὐ χρώμεθα,
τούτοισι χρησαίμεσθα, σωθείημεν ἄν.
εἰ νῦν γε δυστυχοῦμεν ἐν τούτοισι, πῶς
τἀναντί' ἂν πράξαντες οὐ σωζοίμεθ' ἄν;

ΔΙΟΝΥΣΟΣ.

εὖ γ' ὦ Παλάμηδες, ὦ σοφωτάτη φύσις.
[ταυτὶ πότερ' αὐτὸς εὗρες ἢ Κηφισοφῶν;

ΕΥΡΙΠΙΔΗΣ.

ἐγὼ μόνος· τὰς δ' ὀξίδας Κηφισοφῶν.

ΔΙΟΝΥΣΟΣ.]

τί δαὶ λέγεις σύ;

ΑΙΣΧΥΛΟΣ.

τὴν πόλιν νῦν μοι φράσον
πρῶτον, τίσι χρῆται· πότερα τοῖς χρηστοῖς;

---

V. 1466. Suidas v. ἀμάθητος. 1466.–1473. Suidas v. σαφέστερον.

V. 1469. Ita codices Ravennas, Borgianus et Suidas. Edd. ante Brunckium, χρησαίμεσθ', ἴσως σωθῶμεν ἄν. σωθείημεν ἂν ACEFM. Brunckius cum Dawesio, χρησαίμεσθ', ἴσως σωθεῖμεν ἄν.

V. 1471. Legebatur τἀναντία πράττοντες. Codex Ravennas et Suidas τἀναντία πράξαντες. ἂν addidit Reisigius I. p. 101.

V. 1472.–1474. Suidas v. Κηφισοφῶν.

V. 1475. σὺ λέγεις F. Ravennas, τί δαὶ σὺ τί λέγεις; ut scribendum videri possit, τί δαὶ σύ; τί λέγεις;

ΔΙΟΝΥΣΟΣ.

πόθεν;

μισεῖ κάκιστα.

ΑΙΣΧΥΛΟΣ.

τοῖς πονηροῖς δ' ἥδεται;

ΔΙΟΝΥΣΟΣ.

οὐ δῆτ', ἐκείνη γ', ἀλλὰ χρῆται πρὸς βίαν.

ΑΙΣΧΥΛΟΣ.

πῶς οὖν τις ἂν σώσειε τοιαύτην πόλιν,
ἢ μήτε χλαῖνα μήτε σισύρα ξυμφέρει;

ΔΙΟΝΥΣΟΣ.

εὕρισκέ νη Δί', εἴπερ ἀναδύσει πάλιν.

ΑΙΣΧΥΛΟΣ.

ἐκεῖ φράσαιμ' ἄν· ἐνθαδὶ δ' οὐ βούλομαι.

ΔΙΟΝΥΣΟΣ.

μὴ δῆτα σύ γ', ἀλλ' ἐνθένδ' ἀνίει τἀγαθά.

ΑΙΣΧΥΛΟΣ.

τὴν γῆν ὅταν νομίσωσι τὴν τῶν πολεμίων
εἶναι σφετέραν, τὴν δὲ σφετέραν τῶν πολεμίων,
πόρον δὲ τὰς ναῦς, ἀπορίαν δὲ τὸν πόρον.

ΔΙΟΝΥΣΟΣ.

εὖ, πλήν γ' ὁ δικαστὴς αὐτὰ καταπίνει μόνος.

---

V. 1479. 1480. Suidas v. *σισύρα*, ubi *συμφέρει* scriptum.
V. 1481. Seagerus *ἤπερ*.
V. 1483. *ἐνθάδ'* Vaticanus, GFM, scholiastes.
V. 1484.-1486. Suidas v. *τὴν γῆν* et v. *Περικλῆς*.
V. 1484. *ὁπόταν* FGM, Victorianus, Elbingensis, non Suidas.
V. 1487. *γ'* accessit ex Ravennate, scholiaste et Suida v. *Περικλῆς*, ubi codex Oxoniensis *πλὴν καὶ ὁ*. Addiderat particulam

ΠΛΟΥΤΩΝ.

κρίνοις ἄν.

ΔΙΟΝΥΣΟΣ.

αὕτη σφῷν κρίσις γενήσεται.
αἱρήσομαι γὰρ ὅνπερ ἡ ψυχὴ θέλει.

ΕΥΡΙΠΙΔΗΣ.

μεμνημένος νυν τῶν θεῶν, οὓς ὤμοσας,
ἦ μὴν ἀπάξειν μ' οἴκαδ', αἱροῦ τοὺς φίλους.

ΔΙΟΝΥΣΟΣ.

ἦ γλῶττ' ὀμώμοκ', Αἰσχύλον δ' αἱρήσομαι.

ΕΥΡΙΠΙΔΗΣ.

τί δέδρακας, ὦ μιαρώτατ' ἀνθρώπων;

ΔΙΟΝΥΣΟΣ.

ἐγώ;
ἔκρινα νικᾶν Αἰσχύλον. τιὴ γὰρ οὔ;

ΕΥΡΙΠΙΔΗΣ.

αἴσχιστον ἔργον μ' ἐργασάμενος προσβλέπεις;

ΔΙΟΝΥΣΟΣ.

τί δ' αἰσχρὸν, ἢν μὴ τοῖς θεωμένοις δοκῇ;

ΕΥΡΙΠΙΔΗΣ.

ὦ σχέτλιε, περιόψει με δὴ τεθνηκότα;

ΔΙΟΝΥΣΟΣ.

τίς δ' οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,

---

etiam Portus, sed rursus eiecit Brunckius. εὖ γε πλὴν ὁ CE. — αὐτὸς κ. M.

V. 1490. νῦν δὴ τῶν B. οὖν τῶν M.

V. 1492. γλῶσσ' Brunckius.

V. 1496. τοῖσι θεωμένοις A, Brunckius.

V. 1498. 1499. Suidas v. τίς δ' οἶδεν.

V. 1498. Quod aberat δ' accessit ex Vaticano, M et Suida.

τὸ πνεῖν δὲ δειπνεῖν, τὸ δὲ καθεύδειν κώδιον;

ΠΛΟΥΤΩΝ.

χωρεῖτε τοίνυν ὦ Διόνυσ' εἴσω.

ΔΙΟΝΥΣΟΣ.

τί δαί;

ΠΛΟΥΤΩΝ.

ἵνα ξενίσω σφὼ πρὶν ἀποπλεῖν.

ΔΙΟΝΥΣΟΣ.

εὖ τοι λέγεις
νὴ τὸν Δί'· οὐ γὰρ ἄχθομαι τῷ πράγματι.

ΧΟΡΟΣ.

μακάριός γ' ἀνὴρ ἔχων
ξύνεσιν ἠκριβωμένην.
πάρα δὲ πολλοῖσιν μαθεῖν.
ὧδε γὰρ εὖ φρονεῖν δοκήσας,
πάλιν ἄπεισιν οἴκαδ' αὖ,
ἐπ' ἀγαθῷ μὲν τοῖς πολίταις,
ἐπ' ἀγαθῷ δὲ τοῖς ἑαυτοῦ
ξυγγενέσι τε καὶ φίλοισι,

---

V. 1499. Legebatur καὶ τὸ καθεύδειν. Correctum ex FG, Ravennate et Suidae codice Oxoniensi.

V. 1500. Male Brunckius ἔσω.

V. 1501. ξενήσω M. — πρίν γ' ἀπελθεῖν edd. ante Brunckium. πρὶν ἀπελθεῖν B. πρὶν ἀποπλεῖν ACE. πρίν γ' ἀποπλεῖν GM. πρὶν ἂν ἀποπλεῖν F. ἀποπλεῖν etiam ex Vaticano et Victoriano affertur. εὖ λέγεις libri omnes, ut videtur. εὖ τοι λέγεις Brunckius.

V. 1503. μακάριος ABCEFGM. μακάριον edd. ante Brunckium, quem μακάριος edidisse poenitet in annotatione. — γ' omittunt ABCEFG: post ἀνὴρ habet M.

V. 1505. Male Brunckius παρὰ.

V. 1507. Legebatur αὖθις.

V. 1510. Scribebatur φίλοις.

διὰ τὸ συνετὸς εἶναι.
χαρίεν οὖν μὴ Σωκράτες
παρακαθήμενον λαλεῖν,
ἀποβαλόντα μουσικὴν,
τά τε μέγιστα παραλιπόντα
τῆς τραγῳδικῆς τέχνης.
τὸ δ' ἐπὶ σεμνοῖσιν λόγοισι
καὶ σκαριφισμοῖσι λήρων
διατριβὴν ἀργὸν ποιεῖσθαι,
παραφρονοῦντος ἀνδρός.

---

V. 1511. ξυνετὸς edd. ante Brunckium. συνετὸς A C.
V. 1515. Ravennas καὶ τὰ μέγιστα.
V. 1518. σκαρηφισμοῖσι C.

## ΠΛΟΥΤΩΝ. ΑΙΣΧΥΛΟΣ. ΧΟΡΟΣ ΜΥΣΤΩΝ.

### ΠΛΟΥΤΩΝ.

Ἄγε δὴ χαίρων Αἰσχύλε χώρει,
καὶ σῶζε πόλιν τὴν ἡμετέραν
γνώμαις ἀγαθαῖς, καὶ παίδευσον
τοὺς ἀνοήτους· πολλοὶ δ' εἰσίν·
καὶ δὸς τουτὶ Κλεοφῶντι φέρων,
καὶ τουτὶ τοῖσι πορισταῖς,
Μύρμηκί θ' ὁμοῦ καὶ Νικομάχῳ·
τόδε δ' Ἀρχενόμῳ·
καὶ φράζ' αὐτοῖς ταχέως ἥκειν
ὡς ἐμὲ δευρὶ καὶ μὴ μέλλειν·
κἂν μὴ ταχέως ἥκωσιν, ἐγὼ
νὴ τὸν Ἀπόλλω στίξας αὐτοὺς
καὶ ξυμποδίσας

---

V. 1521. ὦ Ἰσχύλε Vaticanus.

V. 1526. καὶ τούτοις edd. ante Brunckium. καὶ τουτὶ AC, Poggianus. καὶ τοῦτο Suidas v. Πλούτων. καὶ τουτοῖ Vaticanus. Dobraeus, „τουτοῖ τοῖσι F. τοῦτο pro τούτοις L. Primo τούτοισι τοῖς, nunc τοῦτοϊ τοῖσι M (sic).“ καὶ τουτονγὶ Elmsleius ad Acharn. p. 127. (209. ed. Lips.).

V. 1528. Archemorus dicitur apud Suidam v. Ἀδείμαντος.

V. 1531. Edd. ante Brunckium ἥκωσι, omisso ἐγὼ. Correctum ex CL et Suida.

V. 1532.–1535. Suidas v. συμποδίσας.

V. 1533. συμποδίσας edd. ante Brunckium. Atticam litteram praebuerunt ABCFGM, Elbingensis.

μετ' Ἀδειμάντου τοῦ Λευκολόφου
κατὰ γῆς ταχέως ἀποπέμψω.

ΑΙΣΧΥΛΟΣ.

ταῦτα ποιήσω· σὺ δὲ τὸν θᾶκον
τὸν ἐμὸν παράδος Σοφοκλεῖ τηρεῖν,
κἀμοὶ σώζειν, ἢν ἄρ' ἐγώ ποτε
δεῦρ' ἀφίκωμαι. τοῦτον γὰρ ἐγὼ
σοφίᾳ κρίνω δεύτερον εἶναι.
μέμνησο δ', ὅπως ὁ πανοῦργος ἀνὴρ,
καὶ ψευδολόγος, καὶ βωμολόχος,
μηδέποτ' εἰς τὸν θᾶκον τὸν ἐμὸν
μηδ' ἄκων ἐγκαθεδεῖναι.

ΠΛΟΥΤΩΝ.

φαίνετε τοίνυν ὑμεῖς τούτῳ
λαμπάδας ἱερὰς, χἅμα προπέμπετε
τοῖσιν τούτου τοῦτον μέλεσιν
καὶ μολπαῖσιν κελαδοῦντες.

ΧΟΡΟΣ.

πρῶτα μὲν εὐοδίαν ἀγαθὴν ἀπιόντι ποιητῇ

---

V. 1536. *Θρόνον* edd. ante Brunckium. *Θᾶκον* Vaticanus e M. *Θᾶκον* Brunckius.

V. 1538. *κἀμοὶ σώζειν* Porsonus. *καί μοι σώζειν* Bentleius et Tyrwhittus. Legebatur *καὶ σώζειν*. Brunckius *καὶ διασώζειν*. Codex C *τηρεῖν ἐμοὶ καὶ σώζειν*. *ἐμοὶ* ad *τηρεῖν* etiam in libro Poggiano adscriptum.

V. 1543. *Θᾶκον* CM, Vaticanus, Elbingensis. *Θόκον* B.

V. 1547. 1548. Edd. ante Brunckium *τοῖς* et *μολπαῖς*. Correcta ex libris, in quibus etiam Poggianus est. *τοῖσιν ἑαυτοῦ* Tyrwhittus.

V. 1548. omissus in ACFG.

V. 1549. *εὐοδίαν*. Pollux IX, 161. . — *ἀνιόντι* LM.

ἐς φάος ὀρνυμένῳ δότε δαίμονες οἱ κατὰ γαίας,
τῇ τε πόλει μεγάλων ἀγαθῶν ἀγαθὰς ἐπινοίας.
πάγχυ γὰρ ἐκ μεγάλων ἀχέων παυσαίμεθ' ἂν οὕτως
ἀργαλέων τ' ἐν ὅπλοις ξυνόδων. Κλεοφῶν δὲ μαχέσθω
κἄλλος ὅ βουλόμενος τούτων πατρίοις ἐν ἀρούραις.

V. 1550. ἐς Ravennas, FG. Legebatur κἐς. — γαίας Ravennas. Legebatur γαῖαν.

V. 1552. π. οὕτως ἂν M.